34 Εληλυθεν ο υιος του ανθρωπου εσθιων και πινων· και λεγετε· Ιδου, ανθρωπος φαγος και οινοποτης, τελωνων φιλος και αμαρτωλων.

35 Και εδικαιωθη η σοφια απο των τεκνων αυτης παντων.

36 Ηρωτα δε τις αυτον των φαρισαιων ινα φαγη μετ αυτου· και εισελθων εις την οικιαν του φαρισαιου, ανεκλιθη.

37 Και ιδου, γυνη εν τη πολει, ητις ην αμαρτωλος, επιγνουσα οτι ανακειται εν τη οικια του φαρισαιου, κομισασα αλαβαστρον μυρου·

38 και στασα παρα τους ποδας αυτου οπισω, κλαιουσα, ηρξατο βρεχειν τους ποδας αυτου τοις δακρυσι· και ταις θριξι της κεφαλης αυτης εξεμασσε, και κατεφιλει τους ποδας αυτου, και ηλειφε τω μυρω.

39 Ιδων δε ο φαρισαιος ο καλεσας αυτον, ειπεν εν εαυτω, λεγων· Ουτος, ει ην προφητης, εγινωσκεν αν τις και ποταπη η γυνη ητις απτεται αυτου· οτι αμαρτωλος εστι.

ο βαπτιστης, μηδε τρωγων ψωμι, μηδε πινων κρασι και λεγετε· Δαιμονιον εχει.

34 Ηλθεν ο υιος του ανθρωπου, και τρωγων και πινων· και λεγετε· Να, ανθρωπος φαγος και οινοποτης, φιλος πορνοκαμηλων και αμαρτωλων.

35 Αλλα εδικαιωθη η σοφια απο ολα της τα παιδια.

36 Και καποιος απο τους Φαρισαιους τον παρακαλεσε να φαγη μαζι μετ αυτου· και επηγεν εις το σπιτι του Φαρισαιου, και εκαθισε.

37 Και να, και μια γυναικα εις την πολιν εκεινην, η οποια ητον αμαρτωλη, και εμαθε πως εκαθητον εις την τραπεζαν εις το σπιτι του Φαρισαιου, και επηρε ενα καλον μυρον·

38 Και εστάθη οπισω του Ιησου, και εκλαιεν, και αρχισε να βρεχη τα ποδαρια του Ιησου με τα δακρυα της, και με τα μαλια της κεφαλης της τα εσφιγγιζε, και εκαταφιλει τα ποδαρια του, και τα αλειφε μυρον.

39 Και ο Φαρισαιος εκεινος οπου τον εκαλεσε εις το σπιτι του, ωσαν ειδεν, ειπε μεσα του, λεγωντας· Ετουτος ο ανθρωπος, αν ητον προφητης, θελε γνωρισει ποια εινε και τι λογης γυναικα εινε οπου τον πιαινει· οτι εινε αμαρτωλη.

40 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπε πρὸς αὐτόν· Σίμων, ἔχω σοί τι εἰπεῖν. Ὁ δὲ φησί· Διδάσκαλε, εἰπέ.

41 Δύο χρεωφειλέται ἦσαν δανιστῆ τινι· ὁ εἷς ὤφειλε δηνάρια πεντακόσια, ὁ δὲ ἕτερος πεντήκοντα.

42 Μὴ ἐχόντων δὲ αὐτῶν ἀποδοῦναι, ἀμφοτέροις ἐχαρίσατο· Τίς οὖν αὐτῶν, εἰπέ, πλεῖον αὐτὸν ἀγαπήσει;

43 Ἀποκριθεὶς δὲ ὁ Σίμων, εἶπε· Ὑπολαμβάνω ὅτι ᾧ τὸ πλεῖον ἐχαρίσατο. Ὁ δὲ εἶπεν αὐτῷ· Ὀρθῶς ἔκρινας.

44 Καὶ στραφεὶς πρὸς τὴν γυναῖκα, τῷ Σίμωνι ἔφη· Βλέπεις ταύτην τὴν γυναῖκα; εἰσῆλθόν σου εἰς τὴν οἰκίαν, ὕδωρ ἐπὶ τοὺς πόδας μου οὐκ ἔδωκας· αὕτη δὲ τοῖς δάκρυσιν ἔβρεξέ μου τοὺς πόδας, καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμαξε.

45 Φίλημά μοι οὐκ ἔδωκας· αὕτη δέ, ἀφ' ἧς εἰσῆλθον, οὐ διέλιπε καταφιλοῦσά μου τοὺς πόδας.

46 Ἔλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας· αὕτη δὲ μύρῳ ἤλειψέ μου τοὺς πόδας.

47 Οὗ χάριν, λέγω σοι,

40 Καὶ ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ λέγει τῳ· Ὦ Σίμων, κάτι ἔχω νὰ σὲ εἰπῶ. Λέγει ὁ Σίμων· Διδάσκαλε, εἰπέ.

41 Δύο χρεωφειλεται ἐχρεωστοῦσαν κάποιῳ δανειστῆ· ὁ ἕνας ἐχρεώστει πεντακόσια δηνάρια· καὶ ὁ ἄλλος πενήντα.

42 Καὶ διὰ νὰ μὴν ἔχουν καὶ οἱ δυο νὰ τὰ δώσουν, τὰ ἐχάρισε καὶ των δύο· εἰπέ μας λοιπόν, ποῖος ἀπο τους δυο τους θέλει τον ἀγαπήσει περισσότερον;

43 Ἀπεκρίθη ὁ Σίμων, καὶ εἶπε· Λογιάζω ὅτι ἐκεῖνος τοῦ ὁποίου αὐτὸς ἐχάρισε τὸ περισσότερον. Καὶ ὁ Ἰησοῦς τοῦ εἶπε· Καλὰ τὸ ἔκρινες.

44 Καὶ γυρίζωντας εἰς τὴν γυναῖκα, λέγει εἰς τὸν Σίμωνα· Βλέπεις ἐτοῦτην τὴν γυναῖκα; ἐγὼ ἐμβηκα εἰς τὸ σπητί σου, καὶ (κἂν) νερὸν εἰς τὰ ποδάριά μου δὲν ἔχυσες, καὶ ἐτοῦτη μὲ τὰ δάκρυά της ἔβρεξε τὰ ποδάριά μου, καὶ μὲ τα μαλία της κεφαλῆς της τὰ ἰσφύγισε.

45 Ἐσὺ δὲν μὲ ἐφίλησες· καὶ ἐτοῦτη, ἀπὸ τὴν ὥραν ὁπου ἐμβηκα, δὲν ἔλειψε νὰ φιλῇ τὰ ποδάριά μου.

46 Ἐσὺ μὲ λάδι τὸ κεφάλι μου δὲν τὸ ἄλειψες· καὶ ἐτοῦτη ἄλειψε μὲ μύρον τα ποδάρια μου.

47 Διὰ τοῦτην τὴν ἀφορ-

αφεωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαί, ὅτι ἠγάπησε πολύ· ᾧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ.

48 Εἶπε δὲ αὐτῇ· Ἀφέωνται σου αἱ ἁμαρτίαι.

49 Καὶ ἤρξαντο οἱ συνανακείμενοι λέγειν ἐν ἑαυτοῖς· Τίς οὗτός ἐστιν ὃς καὶ ἁμαρτίας ἀφίησιν;

50 Εἶπε δὲ πρὸς τὴν γυναῖκα· Ἡ πίστις σου σέσωκέ σε· πορεύου εἰς εἰρήνην.

μαι σοι λέγω, εἶναι συγχεχυμέναις αἱ ἁμαρτίαις της αἱ πολλαῖς, ὅτι ἠγάπησεν πολύ· ᾧ ὀλίγον συγχωρᾶται ὀλίγον, ὀλίγον ἀγαπᾷ.

48 Καὶ εἶπεν της· Συγχεχυμέναις εἶναι αἱ ἁμαρτίαις σου.

49 Καὶ ἄρχισαν ἐκεῖνοι ὁποῦ ἐκάθηνταν μαζὺ νὰ λέγωμέσα τους· Τίς ἀνθρωπος εἶναι ἐτοῦτος ὁπου συγχωρᾷ ἁμαρτίαις;

50 Καὶ εἰς τὴν γυναῖκα εἶπεν· Ἡ πίστις σου σὲ ἔσωσε· σύρε εἰς τὸ καλόν.

Κεφ. ή. 8.

ΚΑΙ ἐγένετο ἐν τῷ καθεξῆς, καὶ αὐτὸς διώδευε κατὰ πόλιν καὶ κώμην, κηρύσσων καὶ εὐαγγελιζόμενος τὴν βασιλείαν τοῦ Θεοῦ· καὶ οἱ δώδεκα σὺν αὐτῷ,

2 Καὶ γυναῖκές τινες αἱ ἦσαν τεθεραπευμέναι ἀπὸ πνευμάτων πονηρῶν καὶ ἀσθενειῶν· Μαρία ἡ καλουμένη Μαγδαληνή, ἀφ' ἧς δαιμόνια ἑπτὰ ἐξεληλύθει,

3 Καὶ Ἰωάννα γυνὴ Χουζᾶ ἐπιτρόπου Ἡρῴδου, καὶ Σουσάννα, καὶ ἕτεραι πολλαί, αἵτινες διηκόνουν αὐτῷ ἀπὸ τῶν ὑπαρχόντων αὐταῖς.

ΚΑΙ ὕστερον ἀπὸ τοῦτο ἐπεριπατεῖ ἀπὸ πόλιν εἰς πόλιν, καὶ ἀπὸ χωρίαν εἰς χωρίαν, καὶ ἐκήρυττε καὶ εὐαγγίλιζε τὴν βασιλείαν τοῦ Θεοῦ· καὶ οἱ δώδεκα μαθητάδες μαζύ του,

2 Καὶ κάποιαις γυναῖκες, αἱ ὁποίαις ἰατρεύθηκαν ἀπὸ πνεύματα πονηρὰ καὶ ἀσθενειαις· ἡ Μαρία ὁποῦ ἐκαλεῖτον Μαγδαληνή, ἀπὸ τὴν ὁποίαν ἐβγήκασιν ἑπτὰ δαιμόνια,

3 Καὶ ἡ Ἰωάννα ἡ γυναῖκα Χουζᾶ, ὁ ὁποῖος ἦτον ἐπίτροπος τοῦ Ἡρῴδου, καὶ ἡ Σουσάννα, καὶ ἄλλαις πολλαῖς, αἱ ὁποίαις τὸν ἐδιακονοῦσαι ἀπὸ τὰ πραγματά τους.

4 Συνιόντ☩ δὲ ὄχλ☩ πολλῦ, καὶ τῶν κατὰ πόλιν ἐπιπορευομέν☩ πρ☩ αὐτὸν, εἶπε διὰ παραβολῆς·

5 Ἐξῆλθεν ὁ σπείρ☩ τοῦ σπεῖραι τὸν σπόρ☩ αὐτοῦ· καὶ ἐν τῷ σπείρειν αὐτὸν, ὃ μὲν ἔπεσε παρὰ τὴν ὁδὸν καὶ κατεπατήθη, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατέφαγεν αὐτό.

6 Καὶ ἕτερον ἔπεσεν ἐπὶ τὴν πέτραν, καὶ φυὲν ἐξηράνθη, διὰ τὸ μὴ ἔχειν ἰκμάδα·

7 Καὶ ἕτερον ἔπεσεν ἐν μέσῳ τῶν ἀκανθῶν, καὶ συμφυεῖσαι αἱ ἄκανθαι ἀπέπνιξαν αὐτό·

8 Καὶ ἕτερον ἔπεσεν ἐπὶ τὴν γῆν τὴν ἀγαθὴν, καὶ φυὲν ἐποίησε καρπὸν ἑκατονταπλασίονα. Ταῦτα λέγων ἐφώνει· Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

9 Ἐπηρώτων δὲ αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέγοντες, τίς εἴη ἡ παραβολὴ αὕτη.

10 Ὁ δὲ εἶπεν· Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τοῦ Θεοῦ· τοῖς δὲ λοιποῖς ἐν παραβολαῖς, ἵνα βλέποντες μὴ βλέπωσι, καὶ ἀκούοντες μὴ συνιῶσιν.

11 Ἔστι δὲ αὕτη ἡ παραβολή. Ὁ σπόρος, ἐστὶν ὁ λόγ☩ τοῦ Θεοῦ.

4 Καὶ ἐνῶντας νὰ συντρέχῃ πολὺς ὄχλ☩, καὶ νὰ πηγαίνουσιν εἰς αὐτὸν ἀπὸ ἐκείνους ὁπῦ ἦταν εἰς ταῖς πόλαις, εἶπε μὲ παραβολήν·

5 Εὐγῆκεν ἐξὸ ὁ σπορεὺς διὰ νὰ σπείρῃ τὸν σπόρον τ☩· καὶ ἐκεῖ ὁπῦ ἐσπειρεν, ἄλλο ἔπεσεν εἰς τὴν γράταν, καὶ ἐκαταπατήθη, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ τὸ ἐκαταφαγαν·

6 Καὶ ἄλλο ἔπεσεν εἰς τὴν πέτραν, καὶ ἀφύτις ἐφύτρωσεν ἐξηράνθη, μὲ τὸ νὰ μὴν ἔχῃ ὑγράδαν·

7 Καὶ ἄλλο ἔπεσεν μέσα εἰς τὰ ἀγκάθια, καὶ μὲ τὸ νὰ φυτρώσουν μαζῦ τὰ ἀγκάθια τὸ ἔπνιξαν·

8 Καὶ ἄλλο ἔπεσε εἰς τὴν γῆν τὴν καλὴν, καὶ ἐφύτρωσε καὶ ἔκαμε καρπὸν ἑκατονταπλασίονα. Ἐτῦτα διδάσκωντας ἐφώναζεν· Ὅποιο☩ ἔχῃ αὐτία διὰ νὰ ἀκούῃ, ας ἀκούῃ.

9 Καὶ οἱ μαθητάδες τ☩ τὸν ἐρωτῦσαν, καὶ ἐλεγαν· τί θέλει νὰ εἶπῃ ἡ παραβολὴ ἐτύτη;

10 Καὶ ὁ Ἰησῦς εἶπεν· Ἐσᾶς ἐδόθη νὰ γνωρίζετε τὰ μυστήρια τῆς βασιλείας τοῦ Θεοῦ· ἀμὴ εἰς τοὺς λοιποὺς λαλῶ μὲ παραβολαῖς διὰ νὰ τὴν βλέπουσιν βλέποντες, καὶ ἀκούοντες νὰ μὴν ἀκούσι.

11 Καὶ ἡ παραβολὴ ἐτύτη εἶναι· Ὁ σπόρος, εἶναι ὁ λόγ☩ τοῦ Θεοῦ.

12 Οἱ δὲ παρὰ τὴν ὁδόν, εἰσὶν οἱ ἀκούοντες· εἶτα ἔρχεται ὁ διάβολος, καὶ αἴρει τὸν λόγον ἀπὸ τῆς καρδίας αὐτῶν, ἵνα μὴ πιστεύσαντες σωθῶσιν.

13 Οἱ δὲ ἐπὶ τῆς πέτρας, οἱ ὅταν ἀκούσωσι, μετὰ χαρᾶς δέχονται τὸν λόγον· καὶ οὗτοι ῥίζαν οὐκ ἔχουσιν, οἳ πρὸς καιρὸν πιστεύουσι, καὶ ἐν καιρῷ πειρασμοῦ ἀφίστανται.

14 Τὸ δὲ εἰς τὰς ἀκάνθας πεσόν, οὗτοί εἰσιν οἱ ἀκούσαντες, καὶ ὑπὸ μεριμνῶν καὶ πλούτου καὶ ἡδονῶν τοῦ βίου πορευόμενοι συμπνίγονται, καὶ οὐ τελεσφοροῦσι.

15 Τὸ δὲ ἐν τῇ καλῇ γῇ, οὗτοί εἰσιν οἵτινες ἐν καρδίᾳ καλῇ καὶ ἀγαθῇ, ἀκούσαντες τὸν λόγον, κατέχουσι, καὶ καρποφοροῦσιν ἐν ὑπομονῇ.

16 Οὐδεὶς δὲ λύχνον ἅψας, καλύπτει αὐτὸν σκεύει, ἢ ὑποκάτω κλίνης τίθησιν· ἀλλ' ἐπὶ λυχνίας ἐπιτίθησιν, ἵνα οἱ εἰσπορευόμενοι βλέπωσι τὸ φῶς·

12 Καὶ ἐκεῖνοι ὁποῦ εἶναι σπαρμένοι εἰς τὴν γράτσαν, εἶναι ἐκεῖνοι ὁποῦ ἀκοῦνε· ἔπειτα ἔρχεται ὁ διάβολος, καὶ σηκώνει τὸν λόγον ἀπὸ τὴν καρδίαν τους, διὰ νὰ μὴν πιστεύσουν καὶ σωθοῦσι.

13 Καὶ οἱ ἄλλοι ὁποῦ εἶναι σπαρμένοι εἰς τὴν πέτραν, εἶναι ἐκεῖνοι οἱ ὁποῖοι ὅταν ἀκούσουν, μετὰ χαρᾶς δέχονται τὸν λόγον· ἀμὴ ἐκεῖνοι ῥίζαν δὲν ἔχουσιν, οἱ ὁποῖοι εἰς ὀλίγον καιρὸν πιστεύουσι, καὶ ὅταν ἔλθῃ πειρασμὸς μακρύνουσι.

14 Καὶ ἐκεῖνο ὁποῦ ἔπεσε εἰς τὰ ἀγκάθια, εἶναι ἐκεῖνοι ὁποῦ ἄκουσαν τὸν λόγον, καὶ ἀπὸ ταῖς φροντίδες τοῦ κόσμου, καὶ ἀπὸ τὸν πλοῦτον, καὶ ἀπὸ ταῖς ἡδοναῖς τῆς ζωῆς πνίγονται, καὶ δὲν τελεσφοροῦσι.

15 Καὶ ἐκεῖνο ὁποῦ ἔπεσε εἰς τὴν γῆν τὴν καλὴν, εἶναι ἐκεῖνοι, οἱ ὁποῖοι ἄκουσαν τὸν λόγον τοῦ Θεοῦ, καὶ τὸν κρατοῦσι μέσα εἰς τὴν καρδίαν τὴν καλὴν καὶ ἀγαθὴν, καὶ μὲ τὴν ὑπομονὴν καρποφοροῦσι.

16 Καὶ κανένας δὲν ἀνάπτει τὸν λύχνον, καὶ τὸν σκεπάζει μὲ ἀγγεῖον, ἢ τὸν βάνει ἀπὸ κάτω εἰς τὴν κλίνην· ἀλλὰ τὸν βάνει εἰς τὸν λυχνοστάτην, διὰ νὰ βλέπουν τὸ φῶς ἐκεῖνοι ὁποῦ ἐμβαίνουν·

17 Οὐ γάρ ἐστι κρυπτὸν ὃ οὐ φανερὸν γενήσεται· οὐδὲ ἀπόκρυφον ὃ οὐ γνωσθήσεται, καὶ εἰς φανερὸν ἔλθῃ.

18 Βλέπετε οὖν πῶς ἀκούετε· ὃς γὰρ ἂν ἔχῃ, δοθήσεται αὐτῷ· καὶ ὃς ἂν μὴ ἔχῃ, καὶ ὃ δοκεῖ ἔχειν, ἀρθήσεται ἀπ᾽ αὐτοῦ.

19 Παρεγένετο δὲ πρὸς αὐτὸν ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ οὐκ ἠδύναντο συντυχεῖν αὐτῷ διὰ τὸν ὄχλον.

20 Καὶ ἀπηγγέλη αὐτῷ, λεγόντων· Ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἑστήκασιν ἔξω, ἰδεῖν σε θέλοντες.

21 Ὁ δὲ ἀποκριθεὶς εἶπε πρὸς αὐτούς· Μήτηρ μου καὶ ἀδελφοί μου, οὗτοί εἰσιν οἱ τὸν λόγον τοῦ Θεοῦ ἀκούοντες, καὶ ποιοῦντες αὐτόν.

22 Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν, καὶ αὐτὸς ἐνέβη εἰς πλοῖον, καὶ οἱ μαθηταὶ αὐτοῦ· καὶ εἶπε πρὸς αὐτούς· Διέλθωμεν εἰς τὸ πέραν τῆς λίμνης. Καὶ ἀνήχθησαν.

23 Πλεόντων δὲ αὐτῶν ἀφύπνωσε· καὶ κατέβη λαῖλαψ ἀνέμου εἰς τὴν λίμνην· καὶ συνεπληροῦντο, καὶ ἐκινδύνευον.

24 Προσελθόντες δὲ διήγει-

17 Διατὶ δὲν εἶναι κανένα κρυφὸν ὅπου νὰ μὴν φανερωθῇ· οὐδὲ ἀπόκρυφον ὅπου νὰ μὴν γνωρισθῇ, καὶ νὰ ἔλθῃ εἰς τὸ φανερόν.

18 Βλέπετε λοιπὸν πῶς ἀκούετε· διατὶ ὅποιος ἔχει (τίποτες χάρισμα) θέλει τοῦ δοθῇ καὶ ἄλλο περισσότερο· καὶ ὁποιος δὲν ἔχει (χάρισμα) καὶ ἐκεῖνο ὅπου φαίνεται σὰν νὰ ἔχῃ, θέλει σαρδῇ ἀπ᾽ αὐτόν.

19 Καὶ ἐπῆγασιν εἰς αὐτὸν ἡ μάνα του καὶ οἱ ἀδελφοί του, καὶ δὲν ἠμπόρεσαν νὰ τὸν σμίξουν ἀπὸ τὸ πλῆθος.

20 Καὶ κάποιοι τοῦ εἶπαν· Ὅτι ἡ μάνα σου καὶ οἱ ἀδελφοί σου στέκονται ἔξω, καὶ θέλουν νὰ σὲ ἰδοῦν.

21 Καὶ ὁ Ἰησοῦς ἀποκρίθη, καὶ εἶπεν τους· Ἡ μάνα μου καὶ οἱ ἀδελφοί μου, ἐκεῖνοι εἶναι ὅπου ἀκοῦν τὸν λόγον τοῦ Θεοῦ, καὶ τὸν κάμνουν.

22 Καὶ μιὰ τῶν ἡμερῶν καὶ αὐτὸς ἐσέβη μέσα εἰς καράβι, καὶ οἱ μαθητάδες του μαζύ· καὶ εἶπέ τους· Ἂς περάσωμεν πέρα ἀπὸ τὴν λίμνη. Καὶ ἐσηκώθηκαν.

23 Καὶ ἐκεῖ ὅπου ἀρμάτιζαν ὁ Ἰησοῦς ἐκοιμήθη· καὶ ἐκατέβη ἀνεμορρόφιλος εἰς τὴν λίμνη· καὶ τὸ καράβι ἐγέμιζε, καὶ ἐκινδύνευαν.

24 Καὶ οἱ μαθητάδες ἐπη-

ραν αὐτοῦ, λέγοντες· Ἐπιστάτα, ἐπιστάτα, ἀπολλύμεθα· Ὁ δὲ ἐγερθεὶς ἐπετίμησε τῷ ἀνέμῳ καὶ τῷ κλύδωνι τοῦ ὕδατος· καὶ ἐπαύσαντο, καὶ ἐγένετο γαλήνη.

25 Εἶπε δὲ αὐτοῖς· Ποῦ ἐστιν ἡ πίστις ὑμῶν; Φοβηθέντες δὲ ἐθαύμασαν, λέγοντες πρὸς ἀλλήλους· Τίς ἄρα οὗτός ἐστιν, ὅτι καὶ τοῖς ἀνέμοις ἐπιτάσσει καὶ τῷ ὕδατι, καὶ ὑπακούουσιν αὐτῷ;

26 Καὶ κατέπλευσαν εἰς τὴν χώραν τῶν Γαδαρηνῶν, ἥτις ἐστὶν ἀντιπέραν τῆς Γαλιλαίας.

27 Ἐξελθόντι δὲ αὐτῷ ἐπὶ τὴν γῆν, ὑπήντησεν αὐτῷ ἀνήρ τις ἐκ τῆς πόλεως, ὃς εἶχε δαιμόνια ἐκ χρόνων ἱκανῶν, καὶ ἱμάτιον οὐκ ἐνεδύσκετο, καὶ ἐν οἰκίᾳ οὐκ ἔμενεν, ἀλλ' ἐν τοῖς μνήμασιν.

28 Ἰδὼν δὲ τὸν Ἰησοῦν, καὶ ἀνακράξας, προσέπεσεν αὐτῷ, καὶ φωνῇ μεγάλῃ εἶπε· Τί ἐμοὶ καὶ σοί, Ἰησοῦ υἱὲ τοῦ Θεοῦ τοῦ ὑψίστου; δεόμαί σου μή με βασανίσῃς.

29 Παρήγγελλε γὰρ τῷ πνεύματι τῷ ἀκαθάρτῳ ἐξελθεῖν ἀπὸ τοῦ ἀνθρώπου· πολλοῖς γὰρ χρόνοις συνηρπάκει αὐτόν· καὶ ἐδεσμεῖτο ἁλύσεσι καὶ πέδαις φυλασσόμενος· καὶ

γας κοπτὰ καὶ τὸν ἐξέπιναι, λέγοντες· Διδάσκαλε, διδάσκαλε, χανόμεσθα· Καὶ ὁ Ἰησοῦς ἐγερθεὶς καὶ ἐπιτάξας τῷ ἀνέμῳ καὶ τῇ ταραχῇ τοῦ ὕδατος· καὶ ἐπαύσαντο, καὶ ἐγένετο γαλήνη.

25 Καὶ εἶπεν αὐτοῖς· Ποῦ εἶναι ἡ πίστις σας; Καὶ ἀπὸ τὸν φόβον τους ἐθαύμασαν, λέγοντες ἀνάμεσα τους· Τίς εἶναι λοιπὸν οὗτος, ὅπου προστάσσει καὶ τοὺς ἀνέμους καὶ τὰ νερά, καὶ τοῦ ὑπακούουσι;

26 Καὶ ἀκατέπλευσαν εἰς τὴν χώραν τῶν Γαδαρηνῶν, ἡ ὁποία εἶναι ἀντίπερα τῆς Γαλιλαίας.

27 Καὶ ὡσὰν αὐγῆκεν ἐξω εἰς τὴν γῆν, τὸν ἀπάντησεν ἕνας ἄνθρωπος ἀπὸ τὴν πολιν, ὁ ὁποῖος εἶχε δαιμόνια ἀπὸ πολλὺς χρόνους, καὶ φόρεμα δὲν ἐνδύνιτον, καὶ εἰς τὸ σπῆτι δὲν ἔμενεν, ἀλλὰ εἰς τὰ μνήματα.

28 Καὶ ὡσὰν εἶδε τὸν Ἰησοῦν, ἐφώναξε, καὶ ἔπεσεν καὶ ἔπεσεν εἰς τὰ σοβδάρια του, καὶ με μεγάλην φωνὴν εἶπεν· Ἰησοῦ υἱὲ τοῦ Θεοῦ τοῦ ὑψίστου, τί ἔχεις νὰ κάμῃς μετ' ἐμένα; παρακαλῶ σε μὴ με βασανίσῃς.

29 Διατὶ ἐπαρήγγειλεν εἰς τὸ πνεῦμα τὸ ἀκάθαρτον νὰ βγῇ ἀπὸ τὸν ἄνθρωπον· διατὶ πολλὺς χρόνους τὸν ἐκράτει· καὶ ἐδένετον με ἁλυσίδες καὶ με κλάπαις τὸν ἐφύλαγαν·

διαρρηξασι τὰ δισμα, πλαυνετο ὑπὸ τοῦ δαίμονος εἰς τας ἐρήμους.

30 Επηρώτησε δὲ αὐτὸν ὁ Ιησους, λεγων· Τι σοί ἐστιν ὄνομα; Ὁ δὲ εἶπε· Λεγεὼν· ὅτι δαιμόνια πολλὰ εἰσῆλθεν εἰς αὐτόν.

31 Καὶ παρεκαλει αὐτὸν ἵνα μὴ ἐπιτάξη αὐτοῖς εἰς τὴν ἄβυσσον ἀπελθειν.

32 Ἦν δὲ ἐκεῖ ἀγέλη χοίρων ἱκανῶν βοσκομένων ἐν τῳ ὄρει· καὶ παρεκάλεν αὐτὸν ἵνα ἐπιτρέψη αὐτοῖς εἰς ἐκείνους εἰσελθεῖν. Καὶ ἐπέτρεψεν αὐτοῖς.

33 Ἐξελθόντα δὲ τὰ δαιμόνια ἀπὸ τοῦ ἀνθρώπου, εἰσῆλθεν εἰς τοὺς χοίρους· καὶ ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνου εἰς τὴν λίμνην· καὶ ἀπεπνίγη.

34 Ἰδοντες δὲ οἱ βόσκοντες τὸ γεγενημένον, ἔφυγον· καὶ ἀπελθόντες ἀπήγγειλαν εἰς τὴν πολιν καὶ εἰς τοὺς ἀγρούς.

35 Ἐξῆλθον δὲ ἰδεῖν τὸ γεγονός· καὶ ἦλθον πρὸς τὸν Ἰησοῦν, καὶ εὗρον καθήμενον τὸν ἄνθρωπον ἀφ' οὗ τὰ δαιμόνια ἐξεληλύθει, ἱματισμένον καὶ σωφρονοῦντα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ· καὶ ἐφοβήθησαν.

36 Ἀπήγγειλαν δὲ αὐτοῖς καὶ οἱ ἰδόντες, πῶς ἰσώθη ὁ δαιμονισθείς.

ἀμὴ ἐκεῖνο ἐκοπτε τὰ δεσιματα, καὶ ἐδιώκετον ἀπὸ τον δαίμονα εἰς τὰς ἐρημιας (τοπους.)

30 Καὶ ὁ Ἰησοῦς τὸν ἐρώτησε, καὶ εἶπε· Τί εἶναι τὸ ὀνομά σε; Καὶ ἐκεῖνος εἶπε· Λεγιών· ὅτι πολλὰ δαιμόνια ἐμβῆκαν εἰς αὐτόν.

31 Καὶ τον ἐπαρακάλει νὰ μὴν τους προστάξη να πάσιν εἰς τὴν ἄβυσσον.

32 Καὶ ἐκεῖ εἰς τὸ ὄρος ἦτον ἀγέλη τῶν χοίρων ὁπου ἔβοσκε· καὶ τὸν ἐπαρακάλεσαν να τους δώση ἄδειαν να ἐμβοῦν εἰς ἐκεινους. Καὶ τους ἐδωσε.

33 Καὶ ὡσαν ἐβγηκαν τὰ δαιμόνια ἀπὸ τὸν ἄνθρωπον, ἐμβῆκαν εἰς τους χοίρους· καὶ ἐκινησεν ἡ ἀγέλη ἐκείνη ἀπὸ τον ἐγκρημνον εἰς τὴν λίμνην· καὶ ἐπνίγη.

34 Καὶ ὡσαν εἶδαν οἱ βοσκοι ἐκεῖνο ὁπου ἔγινεν, ἔφυγαν· καὶ ἐπηγαν εἰς τὴν πόλιν καὶ εἰς τὰ χωράφια καὶ εἶπάν το.

35 Καὶ οἱ ἄνθρωποι ἐβγηκαν νὰ εἶδον ἐκεῖνο ὁπου ἔγινε· καὶ ἦλθαν εἰς τὸν Ἰησοῦν, καὶ εὗρῆκαν τὸν ἄνθρωπον ὁπου ἐκάθητον, ἀπὸ τὸν ὁποῖον ἐβγηκαν τὰ δαιμόνια, ἐνδυμενον καὶ σωφρονισμένον εἰς τὰ ποδάρια τοῦ Ἰησοῦ· καὶ ἐφοβηθηκαν.

36 Καὶ ἐκεῖνοι ὁπου τὸ εἶδαν τὸ εἶπαν εἰς αὐτους, πῶς ὁ δαιμονισμένος ἐλυθιερώθη.

37 Και ηρωτησαν αυτον απας το πλῆθος της περιχώρου των Γαδαρηνων, απελθειν απ' αυτων, ὅτι φόβῳ μεγάλῳ συνείχοντο· αὐτὸς δὲ ἐμβὰς εἰς το πλοῖον, ὑπέστρεψεν.

38 Εδέετο δε αυτου ο ανηρ αφ' ου εξεληλυθει τα δαιμόνια, ειναι συν αὐτῷ· ἀπέλυσε δὲ αὐτὸν ὁ Ιησους, λέγων·

39 Ὑπόστρεφε εἰς τον οἶκόν σου, καὶ διηγοῦ ὅσα ἐποίησέ σοι ὁ Θεός. Καὶ ἀπῆλθε, καθ' ὅλην τὴν πόλιν κηρύσσων ὅσα ἐποίησεν αὐτῷ ὁ Ιησους.

40 Εγενετο δε εν τῳ ὑποστρέψαι τὸν Ἰησοῦν, ἀπεδέξατο αὐτὸν ὁ ὄχλος· ἦσαν γὰρ πάντες προσδοκῶντες αὐτόν.

41 Καὶ ἰδοὺ, ἦλθεν ἀνηρ ὧνομα Ἰάειρος, καὶ αὐτὸς ἄρχων τῆς συναγωγῆς ὑπῆρχε· καὶ πεσὼν παρὰ τοὺς πόδας τοῦ Ιησου, παρεκάλει αὐτον εἰσελθειν εἰς τὸν οἶκον αὐτοῦ·

42 Ὅτι θυγάτηρ μονογενὴς ἦν αὐτῳ ὡς ἐτῶν δωδέκα, καὶ αὕτη ἀπέθνησκεν. (Εν δὲ τῳ ὑπάγειν αὐτὸν οἱ ὄχλοι συνέπνιγον αὐτον.

43 Και γυνη οὐσα ἐν ῥύσει αἵματος ἀπὸ ἐτῶν δώδεκα, ἥτις εἰς ἰατροὺς προσαναλώσα-

37 Καὶ το πλῆθος ὅλου της περιχώρου των Γαδαρηνων ἐπαρακάλεσαν τὸν Ἰησοῦν, να εἶχε νὰ φύγῃ ἀπ' αὐτούς, ὅτι εἶχαν μεγάλον φόβον· καὶ αὐτὸς ἐμβῆκεν εἰς το καράβι, καὶ ἐγύρισεν ὀπίσω.

38 Καὶ ὁ ἄνθρωπος ἐκεῖνος, ἀπὸ τὸν ὁποῖον ἐβγῆκαν τὰ δαιμόνια, ἐπαρακάλει τὸν Ἰησοῦν, να εἶναι μαζύ του· ἀμὴ ὁ Ἰησους τὸν ἀπόλυσε, λέγωντας·

39 Γύρισε εἰς τὸ σπῆτι σου, καὶ διηγοῦ ὅσα σοῦ ἔκαμεν ὁ Θεός. Καὶ ἐπῆγε εἰς ὅλην τὴν πόλιν καὶ ἐκήρυττεν ὅσα τοῦ ἔκαμεν ὁ Ἰησους.

40 Καὶ ὅταν ἐγύρισεν ὁ Ἰησοῦς, τὸν ἐδέχθηκεν ὁ ὄχλος· διατὶ ἦτον τὸν ἀνάμεναν.

41 Καὶ ἐκείνην τὴν ὥραν ἦλθεν ἕνας ἄνθρωπος τὸ ὀνομά του Ἰάειρος, καὶ αὐτὸς ἦτον ἀρχωντας της συναγωγῆς· καὶ ἔπεσεν εἰς τα ποδάρια τοῦ Ἰησοῦ, καὶ τὸν ἐπαρακάλει να πάγῃ εἰς τὸ σπῆτι του·

42 Ὅτι εἶχε μίαν θυγατέρα μονογενῆ, ὡς δώδεκα χρόνων, καὶ ἐκείνη ἀπέθανε. (Καὶ ἐκεῖ ὅπου ἐπαγαίνει ὁ Ἰησοῦς το πλῆθος του λαοῦ τὸν ἐστενοχωρήσαν.

43 Καὶ μία γυναῖκα ἡ ὁποία εἶχε κίνησιν αἵματος δώδεκα χρόνους, καὶ ἐξόδιασεν

σα ὅλον τὸν βίον, οὐκ ἴσχυσεν ὑπ' οὐδενὸς θεραπευθῆναι·

44 Προσελθοῦσα ὄπισθεν, ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ· καὶ παραχρῆμα ἔστη ἡ ῥύσις τοῦ αἵματος αὐτῆς.

45 Καὶ εἶπεν ὁ Ἰησοῦς· Τίς ὁ ἁψάμενός μου; Ἀρνουμένων δὲ πάντων, εἶπεν ὁ Πέτρος καὶ οἱ μετ' αὐτοῦ· Ἐπιστάτα, οἱ ὄχλοι συνέχουσί σε καὶ ἀποθλίβουσι, καὶ λέγεις· Τίς ὁ ἁψάμενός μου;

46 Ὁ δὲ Ἰησοῦς εἶπεν· Ἥψατό μου τις· ἐγὼ γὰρ ἔγνων δύναμιν ἐξελθοῦσαν ἀπ' ἐμοῦ.

47 Ἰδοῦσα δὲ ἡ γυνὴ ὅτι οὐκ ἔλαθε, τρέμουσα ἦλθε, καὶ προσπεσοῦσα αὐτῷ, δι' ἣν αἰτίαν ἥψατο αὐτοῦ, ἀπήγγειλεν αὐτῷ ἐνώπιον παντὸς τοῦ λαοῦ, καὶ ὡς ἰάθη παραχρῆμα.

48 Ὁ δὲ εἶπεν αὐτῇ· Θάρσει θύγατερ, ἡ πίστις σου σέσωκέ σε· πορεύου εἰς εἰρήνην.)

49 Ἔτι αὐτοῦ λαλοῦντος, ἔρχεταί τις παρὰ τοῦ ἀρχισυναγώγου, λέγων αὐτῷ· Ὅτι τέθνηκεν ἡ θυγάτηρ σου· μὴ σκύλλε τὸν διδάσκαλον.

50 Ὁ δὲ Ἰησοῦς ἀκούσας ἀπεκρίθη αὐτῷ, λέγων· Μὴ

ὅλον της τὸν βίον εἰς της ἰατρούς, καὶ δὲν ἠμπόρεσεν ἀπὸ κανένα νὰ ἰατρευθῇ·

44 Σημώνοντας ὀπίσω του, ἐπίασε τὴν ἄκραν του φορέματός του· καὶ παρευθὺς ἐστάθη τὸ τρέξιμον του αἵματός της.

45 Καὶ ὁ Ἰησοῦς εἶπε· Ποῖος εἶναι ἐκεῖνος ὁπου μὲ ἐπίασε; Καὶ ἐπειδὴ ὅλοι ἀρνιώνταν, λέγει ὁ Πέτρος καὶ ἐκεῖνοι ὁπου ἦταν μὲ τὸν Πέτρον· Διδάσκαλε, οἱ ὄχλοι σὲ σφίγγουν καὶ σὲ γεροχώνουν, καὶ λέγεις· Ποῖος εἶναι ὁπου μὲ ἐπίασε;

46 Καὶ ὁ Ἰησοῦς εἶπε· Κάποιος μὲ ἐπίασε· διατὶ ἐγὼ ἐγροίκησα δύναμιν ὁπου εὐγῆκεν ἀπὸ λόγου μου.

47 Καὶ ὡσὰν εἶδεν ἡ γυναῖκα ὅτι δὲν τὸν ἐλαθεν, ἦλθε τρομασμένη, καὶ ἐπεσεν εἰς τὰ ποδάρια του Ἰησοῦ, καὶ διὰ ποῖαν αἰφορμὴν τὸν ἐπίασε, τοῦ τὰ εἶπε, ὁμπρὸς εἰς ὅλον τὸν λαόν, καὶ πῶς ἰατρεύθη παρευθύς.

48 Καὶ ὁ Ἰησοῦς τῆς εἶπεν· Ὦ θύγατερ ἔχε θάρρος, ἡ πίστις σου σὲ ἐλευθέρωσε· σύρε εἰς τὸ καλόν.)

49 Καὶ ὅταν ακόμι ὁ Ἰησοῦς ἐλεγε τὸν λόγον, ἔρχεται τινας ἀπὸ τὸν ἀρχισυνάγωγον, καὶ λέγει τοῦ· Ὅτι ἀπέθανεν ἡ θυγατέρα σου· μὴν σπειράζῃς τὸν διδάσκαλον.

50 Καὶ ὁ Ἰησοῦς ὡσὰν τὸ ἤκουσεν, ἀπεκρίθηκε καὶ εἶπεν τοῦ·

φοβοῦ· μόνον πίστευε, καὶ σωθήσεται.

51 Εἰσελθὼν δὲ εἰς τὴν οἰκίαν, οὐκ ἀφῆκεν εἰσελθεῖν οὐδένα, εἰ μὴ Πέτρον καὶ Ἰακωβον καὶ Ἰωάννην, καὶ τὸν πατέρα τῆς παιδὸς καὶ τὴν μητέρα.

52 Ἔκλαιον δὲ πάντες καὶ ἐκόπτοντο αὐτήν. Ὁ δὲ εἶπε· Μὴ κλαίετε· οὐκ ἀπέθανε, ἀλλὰ καθεύδει.

53 Καὶ κατεγέλων αὐτοῦ, εἰδότες ὅτι ἀπέθανε.

54 Αὐτὸς δὲ ἐκβαλὼν ἔξω πάντας, καὶ κρατήσας τῆς χειρὸς αὐτῆς, ἐφώνησε, λέγων· Ἡ παῖς, ἔγειρε.

55 Καὶ ἐπέστρεψε τὸ πνεῦμα αὐτῆς, καὶ ἀνέστη παραχρῆμα· καὶ διέταξεν αὐτῇ δοθῆναι φαγεῖν.

56 Καὶ ἐξέστησαν οἱ γονεῖς αὐτῆς· ὁ δὲ παρήγγειλεν αὐτοῖς μηδενὶ εἰπεῖν τὸ γεγονός.

Μὴ φοβᾶσαι· μόνον πίστευε, καὶ θέλει γλυτωσεῖ.

51 Καὶ ὡσὰν ἐμβῆκεν εἰς τὸ σπήτι, δὲν ἄφηκε κανένα νὰ ἔμβη μέσα, παρὰ μόνον τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, καὶ τὸν πατέρα τῆς κορασίδας καὶ τὴν μητέρα.

52 Καὶ ἔκλαιεν ὅλοι καὶ ἐλυπήθησαν. Καὶ ὁ Ἰησοῦς εἶπε· Μὴ κλαίετε· δὲν ἀπέθανεν, ἀλλὰ κοιμᾶται.

53 Καὶ τὸν ἐκαταγέλασαν, ἐξεύροντες πὼς ἀπέθανε.

54 Καὶ αὐτὸς ἐγύρωτάς τες ἔξω ὅλες, καὶ πιάνωντάς την ἀπὸ τὸ χέρι της, ἐφώναξε· Ὦ κορασίδα, σήκω ἀπάνω.

55 Καὶ τὸ πνεῦμα της ἐγύρισεν εἰς αὐτὴν, καὶ παρευθὺς ἐσηκώθη· καὶ εἶπε νὰ τῆς δώσουν νὰ φάγη.

56 Καὶ οἱ γονεῖς της ἐτρόμαξαν· καὶ ὁ Ἰησοῦς τους ἐπαράγγειλε νὰ μὴν εἴπουσι κανενὸς τίποτε ὅπου ἔγινε.

Κεφ. 9.

Συγκαλεσάμενος δὲ τοὺς δώδεκα μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς δύναμιν καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια, καὶ νόσους θεραπεύειν.

2 Καὶ ἀπέστειλεν αὐτοὺς κηρύσσειν τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ἰᾶσθαι τοὺς ἀσθενοῦντας.

3 Καὶ εἶπε πρὸς αὐτούς·

Καὶ ὁ Ἰησοῦς προσκαλεσάμενος τοὺς δώδεκα μαθητάς του, τοὺς ἔδωκε δύναμιν καὶ ἐξουσίαν εἰς ὅλα τὰ δαιμόνια, καὶ νὰ ἰατρεύουν ἀσθένειας.

2 Καὶ τοὺς ἔστειλε νὰ κηρύττουν τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ νὰ ἰατρεύουν τοὺς ἀσθενημένους.

3 Καὶ λέγει τους· Μὴ σηκω-

Μηδὲν αἴρητε εἰς τὴν ὁδὸν, μήτε ῥάβδους, μήτε πήραν, μήτε ἄρτον, μήτε ἀργύριον· μηδὲ ἀνὰ δύο χιτῶνας ἔχειν·

4 Καὶ εἰς ἣν ἂν οἰκίαν εἰσέλθητε, ἐκεῖ μείνατε, καὶ ἐκεῖθεν ἐξέρχεσθε.

5 Καὶ ὅσοι ἂν μὴ δέξωνται ὑμᾶς, ἐξερχόμενοι ἀπὸ τῆς πόλεως ἐκείνης, καὶ τὸν κονιορτὸν ἀπὸ τῶν ποδῶν ὑμῶν ἀποτινάξατε, εἰς μαρτύριον ἐπ' αὐτούς.

6 Ἐξερχόμενοι δὲ διήρχοντο κατὰ τὰς κώμας, εὐαγγελιζόμενοι καὶ θεραπεύοντες πανταχοῦ.

7 Ἤκουσε δὲ Ἡρῴδης ὁ τετράρχης τὰ γινόμενα ὑπ' αὐτοῦ πάντα· καὶ διηπόρει, διὰ τὸ λέγεσθαι ὑπό τινων, ὅτι Ἰωάννης ἐγήγερται ἐκ νεκρῶν·

8 Ὑπό τινων δὲ, ὅτι Ἠλίας ἐφάνη· ἄλλων δὲ, ὅτι προφήτης εἷς τῶν ἀρχαίων ἀνέστη.

9 Καὶ εἶπεν ὁ Ἡρῴδης· Ἰωάννην ἐγὼ ἀπεκεφάλισα· τίς δέ ἐστιν οὗτος περὶ οὗ ἐγὼ ἀκούω τοιαῦτα; Καὶ ἐζήτει ἰδεῖν αὐτόν.

10 Καὶ ὑποστρέψαντες οἱ ἀπόστολοι διηγήσαντο αὐτῷ ὅσα ἐποίησαν· καὶ παραλαβὼν αὐτοὺς, ὑπεχώρησε κατ' ἰδίαν εἰς τόπον ἔρημον πόλεως καλουμένης Βηθσαϊδά.

11 Οἱ δὲ ὄχλοι γνόντες, ἠκολούθησαν αὐτῷ· καὶ δεξάμενος αὐτοὺς, ἐλάλει αὐτοῖς περὶ τῆς βασιλείας τοῦ Θεοῦ, καὶ τοὺς χρείαν θεραπείας ἔχοντας ἰάσατο.

μήτε τίποτες εἰς τὴν τράπεζαν· μηδὲ ραβδί, μήτε σακκούλι, μηδὲ ψωμί, μηδὲ ἄσπρα· μηδὲ νὰ ἔχετε ἀπὸ δύο φορέματα·

4 Καὶ εἰς ὁποῖον σπίτι ἐμβῆτε, ἐκεῖ μείνετε, καὶ ἀπ' ἐκεῖ νὰ βγαίνετε ἔξω.

5 Καὶ ὅσοι δὲν σᾶς δεχθοῦσι, βγαίνοντες ἀπὸ τὴν πόλιν ἐκείνην, καὶ τὸν κονιορτὸν τινάξετε ἀπὸ τὰ ποδάρια σας, νὰ εἶναι διὰ μαρτυρίαν εἰς αὐτούς.

6 Καὶ ὅταν βγαίναν ἐπερνοῦσαν ἀπὸ μέσα ἀπὸ τὰ χωρία, κηρύττοντες τὸ εὐαγγέλιον καὶ ἰατρεύοντες εἰς κάθε τόπον.

7 Καὶ ὁ Ἡρῴδης ὁ τετράρχης ἤκουσε ὅλα ἐκεῖνα ὁπού ἐγίνοναν ἀπ' αὐτὸν τὸν Ἰησοῦν· καὶ ἀπόρει· διατὶ ἐλέγαν κάποιοι, ὅτι ὁ Ἰωάννης ἀνέστη ἐκ νεκρῶν·

8 Καὶ κάποιοι, ὅτι ὁ Ἠλίας ἐφάνη· καὶ ἄλλοι, ὅτι ἕνας προφήτης ἀπὸ τοὺς παλαιοὺς ἀνεστάθη.

9 Καὶ ὁ Ἡρῴδης εἶπεν· Ἐγὼ ἀπεκεφάλισα τὸν Ἰωάννην· καὶ ποῖος εἶναι οὗτος, διὰ τὸν ὁποῖον ἐγὼ ἀκούω τέτοια; Καὶ ἐζήτα νὰ τὸν ἰδῇ.

10 Καὶ γυρίζοντες οἱ ἀπόστολοι εἰς τὸν Ἰησοῦν τὰ διηγήθηκαν ὅσα ἐκαμαν· καὶ ἐκεῖνος τοὺς ἐπῆρε, καὶ ἀνεχώρησεν ξεχωριστὰ εἰς ἕνα ἔρημον τόπον τῆς πόλεως ὁπού ἐκαλεῖτον Βηθσαϊδά.

11 Καὶ οἱ ὄχλοι ὡσὰν τὸ

λυθησαν αὐτῶ· καὶ διέλαμεν θαυτες, ἐλάλει αὐτοῖς περὶ τῆς βασιλείας τοῦ Θεοῦ, καὶ τους χρείαν ἐχοντας θεραπείας ἰᾶτο.

12 Ἡ δὲ ἡμέρα ἤρξατο κλίνειν· προσελθόντες δὲ οἱ δώδεκα, εἶπον αὐτῶ· Ἀπόλυσον τὸν ὄχλον, ἵνα ἀπελθόντες εἰς τὰς κύκλω κώμας καὶ τοὺς ἀγροὺς, καταλύσωσι, καὶ εὑρωσιν ἐπισιτισμόν· ὅτι ὧδε ἐν ἐρήμω τόπω ἐσμέν.

13 Εἶπε δὲ πρὸς αὐτούς· Δοτε αὐτοῖς ὑμεῖς φαγεῖν. Οἱ δὲ εἶπον· Οὐκ εἰσὶν ἡμῖν πλεῖον ἢ πέντε ἄρτοι καὶ δύο ἰχθύες, εἰ μή τι πορευθέντες ἡμεῖς ἀγοράσωμεν εἰς πάντα τὸν λαὸν τοῦτον βρώματα.

14 Ἦσαν γὰρ ὡσεὶ ἄνδρες πεντακισχίλιοι· εἶπε δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ· Κατακλίνατε αὐτοὺς κλισίας ἀνὰ πεντήκοντα.

15 Καὶ ἐποίησαν οὕτω· καὶ ἀνέκλιναν ἅπαντας.

16 Λαβὼν δὲ τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν, εὐλόγησεν αὐτοὺς· καὶ κατέκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς, παρατιθέναι τῷ ὄχλῳ.

17 Καὶ ἔφαγον, καὶ ἐχορτάσθησαν πάντες· καὶ ἤρθη τὸ περισσεῦσαν αὐτοῖς κλασμάτων, κόφινοι δώδεκα.

ἐγνωρισαν, τὸν ἀκολουθησαν· καὶ ἐρωντας τὰ τῆς διχθη, τους ἐλάλει διὰ τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ἐκείνους ὅπου ἐχρειάζοντο θεραπείαν τους ἰάτρευε.

12 Καὶ ἡ ἡμέρα ἄρχισε νὰ βραδιάζῃ· καὶ ἐρχόμενοι οἱ δώδεκα, τοῦ εἶπαν· Ἀπόλυσε τὸν ὄχλον, διὰ νὰ ὑπάγουν τρυγήσουν εἰς τὰς χώρας καὶ εἰς τὰ χωράφια, νὰ κοιμῆσθ, καὶ νὰ εὕρουν καὶ φαγητόν· ὅτι ἐδῶ εἴμεσθεν εἰς ἔρημον τόπον.

13 Λέγει τους· Δότε τους ἐσεῖς νὰ φᾶσιν. Καὶ ἐκεῖνοι εἶπαν· Ἐμεῖς δὲν ἔχομεν περισσότερον ἀπὸ πέντε ψωμία καὶ δύο ψάρια, ἐξὸν πᾶμε νὰ ὑπάμε, νὰ ἀγοράσωμεν φαγητὰ διὰ ὅλον τὸν λαὸν τοῦτον·

14 Διατὶ ἦσαν ἄνδρες ὡς πέντε χιλιάδες· καὶ εἶπεν εἰς τους μαθητάδες του· Βάλλετε τους εἰς τάξιν νὰ καθίσουν ἀπὸ πενήντα.

15 Καὶ ἔτζι ἐκαμαν· καὶ τους ἐκάθισαν ὅλους.

16 Καὶ ὁ Ἰησοῦς πέρνοντας τὰ πέντε ψωμία καὶ τὰ δύο ψάρια, ἀτένισεν εἰς τὸν οὐρανὸν, καὶ τα εὐλόγησε· καὶ τὰ ἔκατάκοψε, καὶ ἐδίδε τὰ εἰς τους μαθητάδες του, νὰ τὰ βάλλουσιν εἰς τὸν ὄχλον.

17 Καὶ ἔφαγαν, καὶ ἐχόρτασαν ὅλοι· καὶ ἐσήκωσαν τὰ κομμάτια ὅπου ἐπερίσσευσαν, δώδεκα κοφίνια.

18 Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν προσευχόμενον κατὰμόνας, συνῆσαν αὐτῷ οἱ μαθηταί· καὶ ἐπηρώτησεν αὐτοὺς, λέγων· Τίνα με λέγουσιν οἱ ὄχλοι εἶναι;

19 Οἱ δὲ ἀποκριθέντες, εἶπον· Ἰωάννην τὸν βαπτιστὴν· ἄλλοι δὲ Ἠλίαν· ἄλλοι δὲ, ὅτι προφήτης τις τῶν ἀρχαίων ἀνέστη.

20 Εἶπε δὲ αὐτοῖς· Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; Ἀποκριθεὶς δὲ ὁ Πέτρος, εἶπε· Τὸν Χριστὸν τοῦ Θεοῦ.

21 Ὁ δὲ ἐπιτιμήσας αὐτοῖς, παρήγγειλε μηδενὶ εἰπεῖν τοῦτο.

22 Εἰπών· Ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν, καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων, καὶ ἀποκτανθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι.

23 Ἔλεγε δὲ πρὸς πάντας· Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καθ' ἡμέραν, καὶ ἀκολουθείτω μοι.

24 Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, οὗτος σώσει αὐτήν.

25 Τί γὰρ ὠφελεῖται

18 Καὶ ὅταν ἐπροσευχέτο κατὰ μόνας, ἦταν μαζύ οἱ μαθηταδές του· καὶ τοὺς ἐρώτησε· Ποῖον μὲ λέγουσιν οἱ ὄχλοι νὰ εἶμαι;

19 Καὶ ἐκεῖνοι ἀπεκρίθηκαν, καὶ εἶπαν· Ἄλλοι λέγουν πὼς νὰ εἶσαι ὁ Ἰωάννης ὁ βαπτιστής· καὶ ἄλλοι, ὁ Ἠλίας· καὶ ἄλλοι, ὅτι κάποιος προφήτης ἀπὸ τοὺς παλαιοὺς ἀνεστάθη.

20 Καὶ λέγει εἰς αὐτούς· Ἀμὴ ἐσεῖς ποῖον λέγετε νὰ εἶμαι; Καὶ ἀπεκρίθη ὁ Πέτρος, καὶ εἶπεν· Ὁ Χριστὸς τοῦ Θεοῦ.

21 Καὶ ὁ Ἰησοῦς τοὺς ἐφοβέρισε, καὶ τοὺς παρήγγειλε κανένος νὰ μὴν τὸ εἰπῇ ἐτοῦτο·

22 Λέγοντας· Ὅτι κάμνει χρεία ὁ υἱὸς τοῦ ἀνθρώπου νὰ πάθῃ πολλὰ, καὶ νὰ ἀποδοκιμασθῇ ἀπὸ τοὺς πρεσβυτέρους καὶ ἀρχιερεῖς καὶ γραμματεῖς, καὶ νὰ σκοτωθῇ, καὶ τῇ τρίτῃ ἡμέρᾳ νὰ ἀναστηθῇ.

23 Καὶ ἔλεγεν εἰς ὅλους· Ἐὰν κανένας θέλει νὰ ἐλθῇ κατοπόδι μου, ἂς ἀρνηθῇ τὸν ἑαυτόν του, καὶ ἂς σηκώσῃ τὸν σταυρόν του κάθε ἡμέραν, καὶ ἂς μὲ ἀκολουθᾷ.

24 Διατὶ ὅποιος θέλει νὰ φυλάξῃ τὴν ζωήν του, θέλει τὴν χάσει· καὶ ὅποιος χάσει τὴν ζωήν του διὰ λόγου μου, ἐτοῦτος θέλει τὴν κερδίσει.

25 Διατὶ τί διάφορον εἶναι

ἄνθρωπος κερδήσας τὸν κόσμον ὅλον, ἑαυτὸν δὲ ἀπολέσας, ἢ ζημιωθείς;

26 Ὃς γὰρ ἂν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους, τοῦτον ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ καὶ τοῦ πατρὸς, καὶ τῶν ἁγίων ἀγγέλων.

27 Λέγω δὲ ὑμῖν ἀληθῶς, εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσονται θανάτου, ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ.

28 Ἐγένετο δὲ μετὰ τοὺς λόγους τούτους ὡσεὶ ἡμέραι ὀκτὼ, καὶ παραλαβὼν τὸν Πέτρον καὶ Ἰωάννην καὶ Ἰάκωβον, ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι.

29 Καὶ ἐγένετο ἐν τῷ προσεύχεσθαι αὐτὸν τὸ εἶδος τοῦ προσώπου αὐτοῦ ἕτερον, καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξαστράπτων.

30 Καὶ ἰδοὺ, ἄνδρες δύο συνελάλουν αὐτῷ, οἵτινες ἦσαν Μωσῆς καὶ Ἠλίας·

31 Οἱ ὀφθέντες ἐν δόξῃ, ἔλεγον τὴν ἔξοδον αὐτοῦ, ἣν ἤμελλε πληροῦν ἐν Ἱερουσαλήμ.

32 Ὁ δὲ Πέτρος καὶ οἱ σὺν αὐτῷ ἦσαν βεβαρημένοι ὕπνῳ· διαγρηγορήσαντες δὲ εἶδον τὴν δόξαν αὐτοῦ, καὶ τοὺς δύο ἄνδρας τοὺς συνεστῶτας αὐτῷ.

εἰς τὸν ἄνθρωπον, ἐὰν κερδίσῃ τὸν κόσμον ὅλον, καὶ τὸν λάβῃ τὰ χάσῃ, ἢ τὰ ζημιωθῇ;

26 Διατί ὁποῖος ἐντραπῇ εἰς ἐμένα καὶ εἰς τοὺς λόγους μου, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου θέλει ἐντραπῇ δι' αὐτὸν, ὅταν ἔλθῃ εἰς τὴν δόξαν του καὶ εἰς τὴν δοξαν τοῦ πατρός του, μαζὶ μὲ τοὺς ἁγίους ἀγγέλους.

27 Καὶ λέγω σας ἀληθινὰ, εἶναι κάποιοι ἀπὸ ἐκείνους ὁποὺ εἶναι ἐδῶ, οἱ ὁποῖοι δὲν θέλουσι ἀποθάνει, ἕως ὁποὺ νὰ ἰδοῦσι τὴν βασιλείαν τοῦ Θεοῦ.

28 Καὶ ὕστερα ἀπὸ τοὺς λόγους τούτους, ἕως ὀκτὼ ἡμέραις, ἐπῆρε τὸν Πέτρον καὶ Ἰακωβον καὶ Ἰωάννην, καὶ ἀνέβη εἰς τὸ ὄρος νὰ προσευχηθῇ.

29 Καὶ ἐκεῖ ὁποὺ ἐπροσευχήθη, τὸ εἶδος τοῦ προσώπου του ἔγινεν ἄλλης λογῆς, καὶ τὰ φορέματά του λευκὰ καὶ ἐγέρασαν.

30 Καὶ νὰ, καὶ δύο ἄνδρες τοῦ ἐσυντυχαίναν, οἱ ὁποῖοι ἦταν ὁ Μωϋσῆς καὶ ὁ Ἠλίας·

31 Ὁποὺ ἐφάνηκαν μὲ δόξαν, καὶ ἔλεγον τὸ τυγαλμά του, τὸ ὁποῖον ἤμελλε νὰ πληρώσῃ μέσα εἰς τὴν Ἱερουσαλήμ.

32 Καὶ ὁ Πέτρος καὶ ἐκεῖνοι ὁποὺ ἦταν μαζύ του ἦταν βαρεμένοι ἀπὸ τὸν ὕπνον· καὶ ὡσὰν ἐξύπνησαν εἶδαν τὴν δόξαν του, καὶ τοὺς δύο ἄνδρες ὁποὺ ἐκάθουνταν μαζύ του.

33 Καὶ ἐγένετο ἐν τῷ διαχωρίζεσθαι αὐτὸς ἀπ' αὐτοῦ, εἶπεν ὁ Πέτρος πρὸς τὸν Ἰησοῦν· Ἐπιστάτα, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· καὶ ποιήσωμεν σκηνὰς τρεῖς, μίαν σοὶ, καὶ Μωσεῖ μίαν, καὶ μίαν Ἠλίᾳ· μὴ εἰδὼς ὃ λέγει.

34 Ταῦτα δὲ αὐτοῦ λέγοντος, ἐγένετο νεφέλη, καὶ ἐπεσκίαζεν αὐτοῖς· ἐφοβήθησαν δὲ ἐν τῷ εἰσελθεῖν εἰς τὴν νεφέλην.

35 Καὶ φωνὴ ἐγένετο ἐκ τῆς νεφέλης, λέγουσα· Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, αὐτοῦ ἀκούετε.

36 Καὶ ἐν τῷ γενέσθαι τὴν φωνὴν, εὑρέθη ὁ Ἰησοῦς μόνος· καὶ αὐτοὶ ἐσίγησαν, καὶ οὐδὲν ἀπήγγειλαν ἐν ἐκείναις ταῖς ἡμέραις οὐδὲν ὧν ἑωράκασιν.

37 Ἐγένετο δὲ ἐν τῇ ἑξῆς ἡμέρᾳ, κατελθόντων αὐτῶν ἀπὸ τοῦ ὄρους, συνήντησεν αὐτῷ ὄχλος πολύς.

38 Καὶ ἰδοὺ, ἀνὴρ ἀπὸ τοῦ ὄχλου ἀνεβόησε, λέγων· Διδάσκαλε, δέομαί σου, ἐπίβλεψον ἐπὶ τὸν υἱόν μου, ὅτι μονογενής ἐστί μοι.

39 Καὶ ἰδοὺ, πνεῦμα λαμβάνει αὐτὸν, καὶ ἐξαίφνης κράζει, καὶ σπαράσσει αὐτὸν μετὰ

33 Καὶ ἐκεῖ ὅπου ἐχωρίζοντο αὐτοὶ ἀπὸ τὸν Ἰησοῦν, εἶπεν ὁ Πέτρος εἰς τὸν Ἰησοῦν· Διδάσκαλε, καλὸν εἶναι νὰ εἴμεσθεν ἐμεῖς ἐδῶ· καὶ θέλομεν κάμει τρεῖς καλύβας, ἑνὰ μίαν, καὶ μίαν τοῦ Μωϋσῆ μίαν, καὶ μίαν τοῦ Ἠλίου μίαν· μὴ ἐξεύρωντας τί λέγει.

34 Καὶ λέγωντας ἐτοῦτα τὰ λόγια ὁ Πέτρος, ἦλθεν ἕνα σύννεφον, καὶ τοὺς ἐσκέπασε· καὶ οἱ μαθηταὶ ἐφοβήθηκαν ὅταν ἐμβῆκαν ἐκεῖνοι μέσα εἰς τὸ σύννεφον.

35 Καὶ φωνὴ ἀκούσθη ἀπὸ μέσα ἀπὸ τὸ σύννεφον, ὅπου ἔλεγε· Ἐτοῦτος εἶναι ὁ υἱός μου ὁ ἀγαπημένος, αὐτὸν ἀκούετε.

36 Καὶ ὅταν ἐγένετο ἡ φωνὴ, εὑρέθη ὁ Ἰησοῦς μοναχός· καὶ αὐτοὶ τὰ ἐσιώπησαν, καὶ δὲν εἶπαν κανενὸς τίποτες ἐκείναις ταῖς ἡμέραις ἀπὸ ἐκεῖνα ὁπου εἶδασι.

37 Καὶ τὴν ἄλλην ἡμέραν, ὡσὰν κατέβηκαν ἀπὸ τὸ ὄρος, τὸν ἀπάντησε πολὺς ὄχλος.

38 Καὶ νά, ἕνας ἄνθρωπος ἀπὸ μέσα ἀπὸ τὸ πλῆθος ἐβόησε, καὶ εἶπε· Διδάσκαλε, παρακαλῶ σε, ἔγνεψε εἰς τὸν υἱόν μου, ὅτι μὲ εἶναι μονογενής.

39 Καὶ πιάνει τον τὸ δαιμόνιον, καὶ παραυτὺς κράζει, καὶ τὸν σπαράσσει μὲ ἀφρόν,

ἀρχῇ, καὶ μαγις ἀπεχωρεῖ ἀπ αὐτε, συντρίβοι αὐτον.

40 Καὶ ἐδεήθην των μαθητων σε ἵνα ἐκβαλλωσιν αὐτὸ, καὶ οὐκ ἠδυνήθησαν.

41 Ἀποκριθεὶς δὲ ὁ Ἰησους, εἶπεν· Ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη, ἕως ποτε ἔσομαι πρὸς ὑμᾶς, καὶ ἀνέξομαι ὑμων; προσάγαγε ὧδε τὸν υἱόν σε.

42 Ἔτι δὲ προσερχομένε αὐτε, ἔρρηξεν αὐτὸν το δαιμόνιον, καὶ συνεσπάραξεν· ἐπετιμησε δὲ ὁ Ἰησους τῳ πνεύματι τῳ ἀκαθάρτῳ, καὶ ἰάσατο τὸν παῖδα· καὶ ἀπέδωκεν αὐτὸν τῳ πατρὶ αὐτε.

43 Ἐξεπλησσοντο δὲ πάντες ἐπὶ τῇ μεγαλειότητι τε Θεε· πάντων δὲ θαυμαζόντων ἐπὶ πᾶσιν οἷς ἐποίησεν ὁ Ἰησους, εἶπε πρὸς τοὺς μαθητὰς αὐτε·

44 Θεσθε ὑμεῖς εἰς τὰ ὦτα ὑμων τοὺς λόγους τούτους· ὁ γὰρ υἱος τε ἀνθρώπε μέλλει παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων.

45 Οἱ δὲ ἠγνόουν το ῥημα τοῦτο, καὶ ἦν παρακεκαλυμμένον ἀπ αὐτων, ἵνα μὴ αἴσθωνται αὐτό· καὶ ἐφοβοῦντο ἐρωτῆσαι αὐτον περὶ τε ῥήματος τούτου.

46 Εἰσῆλθε δὲ διαλογισμὸς ἐν αὐτοῖς, το, τίς ἂν εἴη μείζων αὐτων.

47 Ὁ δὲ Ἰησους ἰδὼν τον διαλογισμὸν τῆς καρδίας αὐτων, καὶ μόλις τον ἀφίνει τρίβοντάς τον.

40 Καὶ παρακάλεσα τους μαθητάδες σε νὰ το βγάλωσι, καὶ δεν ἠμπόρεσαν.

41 Καὶ ἀπεκρίθη ὁ Ἰησους, καὶ εἶπε· Ὦ γενεὰ ἄπιστε καὶ διεστραμμένη, ἕως πότε θέλω εἶσθαι μετ ἐσᾶς, ἕως ποτε θέλω σας ὑπομένει; φέρε του ἐδῶ τὸν υἱόν σε.

42 Καὶ ἐρχόμενον ὁ υἱος του, τὸν ἐπίασε το δαιμόνιον, καὶ ἔσχισέν του καὶ τὸν ἐσπάραξε· καὶ ὁ Ἰησους με ὀργὴν ἐπέταξε τὸ πνευμα τὸ ἀκάθαρτον, καὶ ἐγιάτρευσε το παιδίον· καὶ το ἔδωκεν ὀπίσω τε πατρὸς του.

43 Καὶ ὅλοι ἐξεπλάττοντο εἰς την μεγαλειότητα τε Θεε· καὶ ἐνῶ ὅλος νὰ θαυμάζη εἰς ὅλα ὅπου ἔκαμεν ὁ Ἰησους, εἶπεν εἰς τους μαθητάδες του.

44 Τὰ λόγια ἐτοῦτα βάλλετι τα μέσα εἰς τα αὐτια σας· διατι ὁ υἱος τε ἀνθρώπε μέλλει νὰ παραδοθῇ εἰς τὰ χέρια τῶν ἀνθρώπων.

45 Καὶ ἐκεῖνοι δὲν ἐνοήριζαν τὸν λόγον ἐτοῦτον, καὶ ἦτον σκεπασμένον ἀπ αὐτους, διὰ νὰ μὴν τον γροικήσουν· καὶ ἐφόβουνταν νὰ τὸν ἐρωτήσουν διὰ τὸν λόγον ἐτοῦτον.

46 Καὶ ἐδιαλογίζουνται εἷας μὲ τὸν ἄλλον, τὸ, τίς νὰ εἶναι μεγαλίτερον ἀπ αὐτους.

47 Καὶ ὁ Ἰησους ἔχοντας νὰ εἰδῇ τους διαλογισμους της καρ-

ἰπιλαβόμιθα παιδίου, ἤτοις αὐτὸ φαγ ἰαυτῶ·

48 Καὶ ἰπὶι αὐτοῖς· Ὸς ἰαν δέξηται τοῦτο τὸ παιδίον ἰπὶ τῶ ὀνόματί μου, ἰμὲ δέχεται· καὶ ὸς ἰὰν ἰμὲ δέξηται, δέχεται τὸν ἀποστείλαντά μι· ὁ γαρ μικρότιρος ἰν πασιν ὑμῖν ὑπάρχων, ὗτος ἔσαι μεγας.

49 Ἀποκριθεὶς δὲ ὁ Ἰωάννης, ἰἶπι· Ἐπίστατα, ἰίδομέν τινα ἰπὶ τῶ ὀνόματί σου ἰκβάλλοντα τα σαιμόνια· καὶ ἰκωλύσαμιν αὐτὸν, ὅτι οὐκ ἀκολουθῖι μιθ ἡμῶν.

50 Καὶ ἰἶπι πρὸς αὐτὸν ὁ Ἰησους· Μὴ κωλύιτι· ὸς γαρ οὐκ ἔστι καθ' ἡμῶν, ὑπὲρ ἡμῶν ἐστιν.

51 Ἐγένιτο δὲ ἰν τῶ συμπληρουσθαι τας ἡμέρας τῆς ἀναλήψιως αὐτῦ, καὶ αὐτὸς τὸ προσωπον αὐτου ἰστήριξι τῦ πορίυισθαι ἰις Ἱιρουσαλήμ.

52 Καὶ ἀπίστιλι ἀγγέλους πρὸ προσωπου αὐτῦ· καὶ πορίυθέντις ἰσῆλθον ἰἰς κώμην Σαμαριτῶν, ὡστι ἑτοιμάσαι αὐτῶ.

53 Καὶ οὐκ ἰδέξαντο αὐτὸν, ὅτι τὸ προσωπον αὐτου ἦν πορίυόμινον ἰἰς Ἱιρουσαλήμ.

54 Ἰδόντις δὲ οἱ μαθηταὶ ὁ τῦ Ἰακώβου καὶ Ἰωάννης, ἰἶπαν· Κύριι, θέλις ἰἶπωμιν πῦρ καταβῆναι ἀπὸ τοῦ ὀυρανοῦ, καὶ

δίας αὐτῶν, ἰπίασιν ἕνα παιδί, καὶ ἔχισιν το κοντα τῦ·

48 Καὶ εἶπέ τους· Ὁποιος δεχθῆ τοῦτο τὸ παιδίον διὰ ὀνομά μου, ἐμένα δέχεται· καὶ ὁποιος δέχεται ἐμένα, δέχεται ἐκεῖνον ὁπου μὲ ἔστειλε· διατὶ ἐκεῖνος ὁπου εἶναι μικρότερος ἀπ' ὅλους σας, ἐκεῖνος θέλει εἶσθαι μεγαλίτερος.

49 Καὶ ἐστοχάσθη νὰ ἀποκριθῆ ὁ Ἰωάννης, εἶπε· Διδάσκαλε, εἴδαμεν κάποιον ὁ ὁποῖος μὲ τὸ ὀνομά σου ἐβγάνει δαιμόνια· καὶ τὸν ἐμποδίσαμεν διατὶ δὲν ἀκολουθᾶ μετ' ἐμᾶς.

50 Καὶ λέγει τε ὁ Ἰησους· Μὴν τὸν ἐμποδίζετε· διατὶ ὁποιος δὲν εἶναι ἐναντίος μας, ἐκεῖνος εἶναι διὰ λόγου μας.

51 Καὶ ὅταν ἐτελείωσαν αἱ ἡμέραις τῆς ἀναλήψεως τε, καὶ αὐτὸς ἐγύρισε καὶ ἐστηρίξε το προσωπόν τε νὰ πάγῃ εἰς τὴν Ἱερουσαλήμ.

52 Καὶ ἐστειλε μαντατοφόρους ὑμπροσθέν τε· καὶ ἐπῆγαν καὶ ἐμβῆκαν εἰς μίαν χώραν τῶν Σαμαριτῶν, διὰ νὰ τοῦ ἑτοιμάσουν τόπον.

53 Καὶ δὲν τον ἐδέχθηκαν, ἐπειδὴ τὸ πρόσωπόν τε ἦτον νὰ πάγῃ εἰς τὴν Ἱερουσαλήμ.

54 Καὶ ὡσὰν εἶδαν οἱ μαθητάδες τε, ὁ Ἰάκωβος καὶ ὁ Ἰωάννης, εἶπαν· Αὐθέντη, θέλεις νὰ εἰπῦμε νὰ κατέβῃ

ἀναλωσαι αὐτους, ὡς καὶ Ἠλιας ἐποίησε;

55 Στραφεις δὲ ἐπετίμησεν αὐτοῖς, καὶ εἶπεν· Οὐκ οἰδατε οἵου πνεύματός ἐστε ὑμεῖς·

56 Ὁ γαρ υἱος τοῦ ἀνθρωπου οὐκ ἦλθε ψυχὰς ἀνθρωπων ἀπολεσαι, ἀλλα σωσαι. Καὶ ἐπορεύθησαν εἰς ἑτεραν κώμην.

57 Εγένετο δε πορευομένων αὐτων, ἐν τῇ ὁδῷ εἶπέ τις πρὸς αὐτόν· Ακολουθησω σοι ὅπου ἂν ἀπέρχῃ, Κύριε.

58 Καὶ εἶπεν αὐτῳ ὁ Ἰησοῦς· Αἱ ἀλωπεκες φωλεους ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, κατασκηνωσεις· ὁ δὲ υἱος τοῦ ἀνθρωπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ.

59 Εἶπε δὲ πρὸς ἑτερον· Ακολούθει μοι· Ο δὲ εἶπε· Κυριε, ἐπίτρεψόν μοι ἀπελθόντι πρωτον θάψαι τον πατερα μου.

60 Εἶπε δὲ αὐτῳ ὁ Ἰησοῦς· Αφες τους νεκρους θάψαι τους ἑαυτων νεκρους· σὺ δὲ ἀπελθων διάγγειλλε τὴν βασιλείαν τοῦ Θεοῦ.

61 Εἶπε δὲ καὶ ἑτερος· Ακολουθησω σοι, Κυριε· πρωτον δὲ ἐπίτρεψον μοι ἀποτάξασθαι τοῖς εἰς τὸν οἰκόν μου.

62 Εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἰησοῦς· Οὐδεὶς ἐπιβαλων τὴν

φωτια απο τον ουρανον, να τους χαλάσῃ, καθως ἔκαμε καὶ ὁ Ἠλίας;

55 Καὶ γυρίζωντας ὁ Ἰησοῦς τὸν ἐπείδισε, καὶ εἶπε· Δεν ἐξεύρετε τί λογῆς πνευματος εἶσθε ἐσεῖς·

56 Διατὶ ὁ υἱος τοῦ ἀνθρωπου δεν ἦλθε νὰ χαλάσῃ ψυχὰς ἀνθρωπων, ἀλλὰ νὰ σωσῃ. Καὶ ἐπῆγαν εἰς ἄλλην χωραν.

57 Καὶ ἐκεῖ ὁπου ἐπῆγαιναν εἰς τὴν γραττα, του εἶπε κάποιος· Αὐθέντη, θέλω σε ἀκολουθήσει ὁπου καὶ ἂν πάγῃς.

58 Καὶ λεγει τὸν ὁ Ἰησοῦς· Η ἀλωπεδες ἐχουσι φωλιαις, καὶ τα πουλια του οὐρανου, κατοικιαις· ἀμὴ ὁ υἱος του ἀνθρωπου δὲν ἐχει πῦ νὰ κλίνῃ το κεφαλι του.

59 Καὶ λεγει εἰς ἄλλου· Ακολούθα με· Καὶ ἐκεῖνος εἶπεν· Αὐθέντη, συγχωρησε με πρωτον να πάγω να θάψω τὸν πατερα μου.

60 Καὶ ὁ Ἰησοῦς του εἶπεν· Αφησε τους νεκρους να θάψουν τους ἰδικούς τους νεκρους· ἀμὴ ἐσὺ σύρι καὶ διαλάλει τὴν βασιλείαν του Θεοῦ.

61 Καὶ ἄλλος εἶπεν· Αὐθέντη, θέλω σε ἀκολουθήσει· ἀμὴ πρωτα να μου συγχωρησῃς νὰ ὑπαγω να ἀποχαιρετησω ἐκεινους ὁπου εἶναι εἰς τὸ σπητί μου.

62 Καὶ ὁ Ἰησους του εἶπε· Μηδεὶς κανένας ὁπου βάλλει τὸ

χείρα αὐτε ἐπ' ἄροτρον, καὶ βλέπων εἰς τὰ ὀπίσω, εὐθετός ἐστιν εἰς τὴν βασιλείαν τῦ Θεῦ.

Κεφ. ί. 10.

ΜΕΤΑ' δὲ ταυτα ἀνέδειξεν ὁ Κύριος καὶ ἑτέρυς ἑβδομήκοντα, καὶ ἀπέστειλεν αὐτὺς ἀνὰ δύο πρὸ προσώπυ αὐτυ, εἰς πᾶσαν πόλιν καὶ τόπον ὃ ἔμελλεν αὐτὸς ἔρχεσθαι.

2 Ἔλεγεν ἓν πρὸς αὐτύς· Ὁ μὲν θερισμὸς πολὺς, οἱ δὲ ἐργάται ὀλίγοι· δεήθητε ἓν τῇ Κυρίῳ τῦ θερισμῦ, ὅπως ἐκβάλλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτυ.

3 Ὑπάγετε· ἰδὺ, ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς ἄρνας ἐν μέσῳ λύκων.

4 Μὴ βαστάζετε βαλάντιον, μὴ πήραν, μηδὲ ὑποδήματα· καὶ μηδένα κατὰ τὴν ὁδὸν ἀσπάσησθε.

5 Εἰς ἣν δ' ἂν οἰκίαν εἰσέρχησθε, πρῶτον λέγετε· Εἰρήνη τῷ οἴκῳ τύτῳ.

6 Καὶ ἐὰν μὲν ᾖ ἐκεῖ ὁ υἱὸς εἰρήνης, ἐπαναπαύσεται ἐπ' αὐτὸν ἡ εἰρήνη ὑμῶν· εἰ δὲ μήγε, ἐφ' ὑμᾶς ἀνακάμψει.

7 Ἐν αὐτῇ δὲ τῇ οἰκίᾳ μένετε, ἐσθίοντες καὶ πίνοντες τὰ παρ' αὐτῶν· ἀξιος γὰρ ὁ ἐργάτης τῦ μισθῦ αὐτε ἐστι. Μὴ μεταβαίνετε ἐξ οἰκίας εἰς οἰκίαν.

χέρι τε εἰς τὸ ἄλετρι, καὶ βλέπει ὀπίσω, ἐστὶ ἄξιος διὰ τὴν βασιλείαν τῦ Θεῦ.

Κεφ. ί. 10.

ΚΑΙ ὕστερον ἀπὸ τῦτα ὁ Ἰησῦς ἐκατάστησεν ἄλλυς ἑβδομήκοντα μαθητάδες, καὶ τυς ἔστειλεν ἀνὰ δύο ὁμπροσθεν τυ, εἰς κάθε πόλιν καὶ τόπον, ὅπε ἔμελλεν αὐτὸς νὰ πάγῃ.

2 Καὶ τυς ἔλεγεν· Ὁ θερισμὸς ἐστὶν πολυς, ἀμὴ οἱ ἐργάται εἶναι ὀλίγοι· παρακαλεσιτε λοιπὸν τὸν Αὐθέντην τυ θερισμῦ, διὰ νὰ εἰγαλλῃ ἐργάταις εἰς τὸ θέρος τυ.

3 Συρτε, νὰ, ὅπε σᾶς πέμπω ὡσὰν ἀρνία εἰς τὴν μέσην τῶν λυκων.

4 Μὴν βασᾶτε πυγγιον, μηδὲ σακκέλι, μηδὲ ὑποδηματα· καὶ κανένα εἰς τὴν γρατα νὰ μὴν τον χαιρετησιτε.

5 Καὶ εἰς ὁποιον σπητι ἐμβητε, πρῶτον νὰ λέγετε· Εἰρήνη εἰς τὸ σπητι τυτο.

6 Καὶ [illegible] εἰρήνης, θέλει ἀναπαυθῇ ἀπάνω εἰς αὐτον ἡ εἰρήνη σας· εἰ δὲ μὴ, θέλει γυρισει εἰς ἐσας.

7 Καὶ εἰς ἐκεῖνο τὸ σπητι μενετε, καὶ τρωγετε καὶ πινετε ἀπὸ τὰ φαγητά τυς· διατι ἄξιος εἶναι ὁ ἐργάτης τῆς πληρωμῆς τυ. Μὴν μετατοπίζετε ἀπὸ ἕνα σπητι εἰς ἄλλο.

8 Καὶ εἰς ἣν δ' ἂν πόλιν εἰσέρχησθε, καὶ δέχωνται ὑμᾶς, ἐσθίετε τὰ παρατιθέμενα ὑμῖν.

9 Καὶ θεραπεύετε τοὺς ἐν αὐτῇ ἀσθενεῖς, καὶ λέγετε αὐτοῖς· Ἤγγικεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ.

10 Εἰς ἣν δ' ἂν πόλιν εἰσέρχησθε, καὶ μὴ δέχωνται ὑμᾶς, ἐξελθόντες εἰς τὰς πλατείας αὐτῆς, εἴπατε·

11 Καὶ τὸν κονιορτὸν τὸν κολληθέντα ἡμῖν ἐκ τῆς πόλεως ὑμῶν, ἀπομασσόμεθα ὑμῖν· πλὴν τοῦτο γινώσκετε, ὅτι ἤγγικεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ.

12 Λέγω δὲ ὑμῖν, ὅτι Σοδόμοις ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνεκτότερον ἔσται, ἢ τῇ πόλει ἐκείνῃ.

13 Οὐαί σοι Χοραζίν, οὐαί σοι Βηθσαϊδά· ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ καθήμεναι μετενόησαν.

14 Πλὴν Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν τῇ κρίσει, ἢ ὑμῖν.

15 Καὶ σὺ Καπερναοὺμ ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα, ἕως ᾅδου καταβιβασθήσῃ.

16 Ὁ ἀκούων ὑμῶν, ἐμοῦ

8 Καὶ εἰς ὁποιαν πόλιν εἰσέρχεσθε, καὶ σᾶς δέχωνται, ἐκεῖνα ὁποῦ σᾶς βάλουν ὁμπροστά τρώγετε.

9 Καὶ ἰατρεύετε τοὺς ἀσθενημένους των· καὶ λέγετε τους· Ἐσημάνθη εἰς ἐσᾶς ἡ βασιλεία τοῦ Θεοῦ.

10 Καὶ εἰς ὁποιαν πόλιν εἰσέρχεσθε, καὶ δὲν σᾶς δέχωνται, βγαίνοντες εἰς τὰ πλατώματα της, λέγετε·

11 Καὶ τὸν κοπριὸν ὁποῦ μᾶς ἐκόλλησεν ἀπὸ τὴν πόλιν σας, νὰ, ὁποῦ σᾶς τὸν τινάζωμεν· ὅμως τοῦτο ἐξεύρετε, ὅτι ἐσημάνθη εἰς ἐσᾶς ἡ βασιλεία τοῦ Θεοῦ.

12 Καὶ λέγω σας, ὅτι πλέον συμπάθιον θέλει εἶσθαι τὴν ἡμέραν ἐκείνην εἰς τὰ Σόδομα, παρὰ εἰς τὴν πόλιν ἐκείνην.

13 Ἀειλύμονον εἰς ἐσένα Χωραζίν, ἀειλύμονον εἰς ἐσένα Βηθσαϊδά· διατὶ ἂν ἐγίνονταν εἰς τὴν Τύρον καὶ εἰς τὴν Σιδῶνα αἱ δυνάμεις ὁποῦ ἐγίνηκαν εἰς ἐσᾶς, ἀπὸ πολὺν καιρὸν ἤθελαν μετανοήσῃ καθεζόμεναι μὲ σακκία καὶ μὲ τζακτάς.

14 Ὅμως πλέον συμπάθιον θέλει εἶσθαι εἰς τὴν ἡμέραν τῆς κρίσεως εἰς τὴν Τύρον καὶ Σιδῶνα, παρὰ εἰς ἐσᾶς.

15 Καὶ σὺ Καπερναοὺμ ὁποῦ ὑψώθης ἕως τὸν οὐρανόν, θέλεις καταβιβασθῇ ἕως τὸν ᾅδην.

16 Ἐκεῖνος ὁποῦ ἀκούει ἐσᾶς,

ἀκύει· καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν ἀποστείλαντά με.

17 Ὑπέστρεψαν δὲ οἱ ἑβδομήκοντα μετὰ χαρᾶς, λέγοντες· Κύριε, καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου.

18 Εἶπε δὲ αὐτοῖς· Ἐθεώρουν τὸν Σατανᾶν, ὡς ἀστραπὴν, ἐκ τοῦ οὐρανοῦ πεσόντα.

19 Ἰδοὺ, δέδωκα ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσει.

20 Πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται· χαίρετε δὲ μᾶλλον, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγγέγραπται ἐν τοῖς οὐρανοῖς.

21 Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ πνεύματι ὁ Ἰησοῦς, καὶ εἶπεν· Ἐξομολογοῦμαί σοι, πάτερ, κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις· ναὶ ὁ πατὴρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου.

22 Πάντα παρεδόθη μοι ὑπὸ τοῦ πατρός μου· καὶ οὐδεὶς γινώσκει τίς ἐστιν ὁ υἱὸς, εἰ μὴ ὁ πατὴρ· καὶ τίς ἐστιν ὁ πατὴρ, εἰ μὴ ὁ υἱὸς, καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι.

17 Καὶ ἐγύρισαν οἱ ἑβδομήντα μετὰ χαρᾶς, λέγοντες· Αὐθέντη, καὶ τὰ δαιμόνια μᾶς ὑποτάσσονται διὰ ὄνομα σου.

18 Καὶ εἶπεν τους· ἔβλεπα τὸν Σατανᾶν, ὅπου ἔπεσεν ἀπὸ τὸν οὐρανὸν ὡσὰν ἀστραπήν.

19 Νά, ὅπου σᾶς δίδω τὴν ἐξουσίαν νὰ πατῆτε ἀπάνω εἰς τὰ φίδια καὶ εἰς τους σκορπίους, καὶ εἰς ὅλην τὴν δύναμιν τοῦ ἐχθροῦ· καὶ κανένα πρᾶγμα δὲν θέλει σᾶς βλάψει.

20 Ὅμως εἰς τοῦτο μὴν χαίρεσθε, ὅτι σᾶς ὑποτάσσονται τὰ πνεύματα· ἀλλὰ χαίρεσθε, ὅτι τὰ ὀνόματά σας ἐγράφηκαν εἰς τὸν οὐρανόν.

21 Ἐκείνην τὴν ὥραν ἐχάρηκε κατὰ τὸ πνεῦμα ὁ Ἰησοῦς, καὶ εἶπεν· Εὐχαριστῶ σε, πάτερ, αὐθέντη τοῦ οὐρανοῦ καὶ τῆς γῆς· ὅτι ἐτοῦτα τὰ ἔκρυψες ἀπὸ τους σοφοὺς καὶ γνωστικοὺς, καὶ τα ἐφανέρωσες εἰς μικρὰ παιδία· ναὶ βέβαια, ὦ πάτερ, ὅτι ἔτζι σὲ ἄρεσε· καὶ γυρίζοντας εἰς τους μαθητάδες εἶπεν·

22 Ὅλα μοῦ τὰ ἐπαράδωκεν ὁ πατήρ μου· καὶ κανένας δὲν γνωρίζει τις εἶναι ὁ υἱὸς, παρὰ ὁ πατὴρ· καὶ τις εἶναι ὁ πατὴρ,

εἰ μὴ ὁ υἱὸς, καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι.

23 Καὶ στραφεὶς πρὸς τοὺς μαθητὰς, κατ' ἰδίαν εἶπε· Μακάριοι οἱ ὀφθαλμοὶ οἱ βλέποντες ἃ βλέπετε.

24 Λέγω γὰρ ὑμῖν, ὅτι πολλοὶ προφῆται καὶ βασιλεῖς ἠθέλησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε, καὶ οὐκ εἶδον· καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν.

25 Καὶ ἰδοὺ, νομικός τις ἀνέστη, ἐκπειράζων αὐτὸν, καὶ λέγων· Διδάσκαλε, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω;

26 Ὁ δὲ εἶπε πρὸς αὐτόν· Ἐν τῷ νόμῳ τί γέγραπται; πῶς ἀναγινώσκεις;

27 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου· καὶ τὸν πλησίον σου ὡς σεαυτόν.

28 Εἶπε δὲ αὐτῷ· Ὀρθῶς ἀπεκρίθης· τοῦτο ποίει, καὶ ζήσῃ.

29 Ὁ δὲ θέλων δικαιῶσαι ἑαυτὸν, εἶπε πρὸς τὸν Ἰησοῦν· Καὶ τίς ἐστί μου πλησίον;

30 Ὑπολαβὼν δὲ ὁ Ἰησοῦς, παρὰ ὁ υἱὸς, καὶ εἰς ὁποῖον θέλει ὁ υἱὸς νὰ τοῦ τὸ ἀποκαλύψῃ.

23 Τότε ἐγύρισεν εἰς τοὺς μαθητάδες ξεχωρισὰ, καὶ τοὺς εἶπε· Καλότυχα εἶναι τὰ μάτια ὁπού βλέπουσιν ἐκεῖνα ὁπού βλέπετε ἐσεῖς.

24 Διατί σᾶς λέγω, ὅτι πολλοὶ προφῆται καὶ βασιλεῖς ἐπεθύμησαν νὰ εἶδον ἐκεῖνα ὁπού ἐσεῖς βλέπετε, καὶ δὲν τὰ εἶδαν· καὶ νὰ ἀκούσουν ἐκεῖνα ὁπού ἀκούετε, καὶ δὲν ἠκουσαν.

25 Καὶ παρευθὺς ἐσηκώθη ἕνας νομοδιδάσκαλος, πειράζοντάς τον, καὶ λέγει· Διδάσκαλε, τί νὰ κάμω νὰ κληρονομήσω τὴν ζωὴν τὴν αἰώνιον;

26 Καὶ ὁ Ἰησοῦς τοῦ εἶπεν· Εἰς τὸν νόμον τί ἐγεγράφηκε; πῶς ἀναγινώσκεις;

27 Καὶ ἐκεῖνος ἀπεκρίθη, καὶ εἶπεν· Νὰ ἀγαπήσῃς Κύριον τὸν Θεόν σου μὲ ὅλην τὴν καρδίαν σου, καὶ μὲ ὅλην τὴν ψυχήν σου, καὶ μὲ ὅλην τὴν δυναμίν σου, καὶ μὲ ὅλην σου τὴν διάνοιαν· καὶ τὸν γείτονά σου ὡσὰν καὶ τὸν λόγο σου.

28 Καὶ λέγει τοῦ ὁ Ἰησοῦς· Καλὰ ἀπεκρίθης· ἔτσι τὸ κάμε, καὶ θέλεις ζήσει.

29 Καὶ ἐκεῖνος, θέλοντας νὰ δικαιώσῃ τὸ λόγο του, εἶπεν εἰς τὸν Ἰησοῦν· Καὶ ποῖος εἶναι ὁ γείτονάς μου;

30 Καὶ ὁ Ἰησοῦς διαδιξάμενος τὸν λόγον, εἶπεν· Ἕνας

εἶπεν· Ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἰερουσαλὴμ εἰς Ἰεριχὼ, καὶ λῃσταῖς περιέπεσεν· οἱ καὶ ἐκδύσαντες αὐτὸν, καὶ πληγὰς ἐπιθέντες, ἀπῆλθον, ἀφέντες ἡμιθανῆ τυγχάνοντα.

31 Κατὰ συγκυρίαν δὲ ἱερεύς τις κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ· καὶ ἰδὼν αὐτὸν, ἀντιπαρῆλθεν.

32 Ὁμοίως δὲ καὶ Λευίτης, γενόμενος κατὰ τὸν τόπον, ἐλθὼν καὶ ἰδὼν, ἀντιπαρῆλθεν.

33 Σαμαρίτης δέ τις ὁδεύων, ἦλθε κατ' αὐτὸν, καὶ ἰδὼν αὐτὸν, ἐσπλαγχνίσθη.

34 Καὶ προσελθὼν κατέδησε τὰ τραύματα αὐτοῦ, ἐπιχέων ἔλαιον καὶ οἶνον· ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος, ἤγαγεν αὐτὸν εἰς πανδοχεῖον, καὶ ἐπεμελήθη αὐτοῦ.

35 Καὶ ἐπὶ τὴν αὔριον ἐξελθὼν, ἐκβαλὼν δύο δηνάρια ἔδωκε τῷ πανδοχεῖ, καὶ εἶπεν αὐτῷ· Ἐπιμελήθητι αὐτοῦ· καὶ ὅ, τι ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι.

36 Τίς οὖν τούτων τῶν τριῶν δοκεῖ σοι πλησίον γεγονέναι τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς;

ἄνθρωπος κατεβαινεν ἀπο την Ιερουσαλημ, εἰς την Ιεριχὼ, καὶ λῃσταις περιεπεσεν οἱ καὶ τον ἐξεγυμνωσαν καὶ τον ἐδειραν, και τον ἀφηκαν μισαποθαμμένον καὶ ἐβάδιζον.

31 Και κατα τυχην ἕνας ἱερευς ἐκατέβαινεν εἰς την τράταν ἐκείνην· και βλέποντάς τον, επερασε ἀπαγιάτια.

32 Ομοίως και καποιος Λευίτης, περνώνας ἀπο τον τόπον ἐκεῖνον, ἐπηγε και τον εἶδε, καὶ ἐπέρασε ἀπαγιατια.

33 Αμη καποιος Σαμαρίτης περιπατωντας την τράταν ἐκεινην, ἐπηγεν εἰς αὐτον, και ὡσὰν τὸν εἶδεν, τὸν ἐσπλαγχνίσθη.

34 Και ἐπηγε κοντὰ καὶ ἔδεσε τὰις πληγὰις τυ, χυνωνίας ἀπάνω λάδι καὶ κρασί· καὶ τὸν ἔβαλλεν ἀπάνω εἰς το κτηνος τυ, και τὸν ἐπηγεν εἰς το ξενοδοχεῖον, καὶ τὸν ἐπιμελήθηκε.

35 Καὶ ἐπὶ την αυριον ὁταν ευγηκε να πηγένῃ, ευγαλε δυο δηνάρια καὶ ἔδωκεν εἰς τὸν ξενοδόχον, καὶ εἶπεν τυ· Ἐπιμελησε ἐτοῦτον τὸν ἄνθρωπον· καὶ εἴ τι ἐξοδιάσῃς παραπάνω, ἐγὼ ὡσὰν γυρίσω θέλω σε τὰ δώσει.

36 Ποῖος λοιπον ἀπο ετοῦτες τες τρεῖς σε φαίνεται νὰ ἐγινε γειτονας εἰς ἐκεῖνον ὁπου ἔπεσεν εἰς τα χεια των λῃσων;

37 Ὁ δὲ εἶπεν· Ὁ ποιήσας τὸ ἔλεος μετ' αὐτοῦ. Εἶπεν οὖν αὐτῷ ὁ Ἰησοῦς· Πορεύου, καὶ σὺ ποίει ὁμοίως.

38 Ἐγένετο δὲ ἐν τῷ πορεύεσθαι αὐτοὺς, καὶ αὐτὸς εἰσῆλθεν εἰς κώμην τινά· γυνὴ δέ τις ὀνόματι Μάρθα ὑπεδέξατο αὐτὸν εἰς τὸν οἶκον αὐτῆς.

39 Καὶ τῇδε ἦν ἀδελφὴ καλουμένη Μαρία, ἣ καὶ παρακαθισασα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, ἤκουε τὸν λόγον αὐτοῦ·

40 Ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν διακονίαν· ἐπιστᾶσα δὲ εἶπε· Κύριε, οὐ μέλει σοι ὅτι ἡ ἀδελφή μου μόνην με κατέλιπε διακονεῖν; εἰπὲ οὖν αὐτῇ ἵνα μοι συναντιλαβηται.

41 Ἀποκριθεὶς δὲ εἶπεν αὐτῇ ὁ Ἰησοῦς· Μάρθα, Μάρθα, μεριμνας καὶ τυρβάζῃ περὶ πολλά.

42 Ἑνὸς δέ ἐστι χρεία. Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις, οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς.

37 Ὁ νομικὸς εἶπεν· Ἐποίησα ὅπου τὸ ἔλεος. Καὶ ὁ Ἰησοῦς εἶπεν· Σὺ λοιπὸν, καὶ σὺ κάμε ὁμοίως.

38 Καὶ ὅταν ἐπῆγαναν εἰς τὴν στράταν, ὁ Ἰησοῦς ἐμβῆκεν εἰς μίαν χώραν· καὶ κάποια γυναῖκα τὸ ὀνομά της Μάρθα τὸν ἐδέχθηκεν εἰς τὸ σπῆτί της.

39 Καὶ ἐκείνη εἶχεν ἀδελφὴν ὁπου τὴν ἐλέγαν Μαρίαν, ἡ ὁποία ἐπῆγε καὶ ἐκάθισε κοντὰ εἰς τὰ ποδάρια τοῦ Ἰησοῦ, καὶ ἄκουε τὰ λόγια του.

40 Ἀμὴ ἡ Μάρθα ἐνοχλεῖτον ἀπὸ ταῖς πολλαῖς ὑπηρεσιαῖς· καὶ πάγει καὶ λέγει του· Αὐθέντη, δὲν σε μέλει τίποτες ὁπὸ με ἄφησεν ἡ ἀδελφή μου μοναχὴν νὰ ὑπηρετῶ; εἰπές της λοιπὸν νὰ μὲ βοηθήσῃ.

41 Καὶ ὁ Ἰησοῦς ἀπεκρίθη, καὶ εἶπεν της· Μάρθα, Μάρθα, μεριμνας καὶ συγχύζεσαι διὰ πολλά.

42 Ἀλλὰ ἕνα κάμνει χρεία· ἀμὴ ἡ Μαρία ἐδιάλεξε τὸ καλὸν μερτικὸν, τὸ ὁποῖον δὲν θέλει παρθῇ ἀπ' αὐτήν.

Κεφ. ιά. 11.

ΚΑΙ' ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν τόπῳ τινὶ προσευχόμενον, ὡς ἐπαύσατο, εἶπέ τις τῶν μαθητῶν αὐτοῦ πρὸς αὐτόν· Κύριε, δίδαξον ἡμᾶς προσεύχεσθαι, καθὼς καὶ Ἰω-

ΚΑΙ' μίαν φορὰν ὅταν ἦτον εἰς κάποιον τόπον καὶ ἐπροσευχέτον, ὡσὰν ἔπαυσε, λέγει του ἕνας ἀπὸ τοὺς μαθητάδες του· Αὐθέντη, δίδαξέ μας νὰ προσευχόμεσθε, καθὼς καὶ ὁ

άννης ἐδίδαξε τὺς μαθητας αὐτε.

2 Εἶπε δὲ αὐτοῖς· Ὅταν προσεύχησθε, λέγετε· ΠΑΤΕΡ ἡμῶν ὁ ἐν τοῖς ὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σε· ἐλθέτω ἡ βασιλεία σε· γενηθήτω τὸ θελημά σε, ὡς ἐν ὐρανῳ, καὶ ἐπὶ τῆς γῆς.

3 Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δίδε ἡμῖν τὸ καθ' ἡμέραν·

4 Καὶ ἄφες ἡμῖν τὰς ἁμαρτίας ἡμῶν· καὶ γὰρ αὐτοὶ ἀφίεμεν παντὶ ὀφείλοντι ἡμῖν· καὶ μὴ εἰσενέγκης ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηρε.

5 Καὶ εἶπε πρὸς αὐτὺς· Τὶς ἐξ ὑμῶν ἔξει φίλον, καὶ πορευσεται πρὸς αὐτὸν μεσονυκτιε, καὶ εἴπη αὐτῳ· Φίλε, χρησόν μοι τρεῖς ἄρτες·

6 Ἐπειδὴ φίλος με παρεγενετο ἐξ ὁδε πρὸς με, καὶ οὐκ ἐχω ὁ παραθησω αὐτῳ·

7 Κἀκεῖνος ἐσωθεν ἀποκριθεὶς εἴπη· Μὴ μοι κόπες πάρεχε· ἤδη ἡ θυρα κεκλεισαι, καὶ τὰ παιδία με μετ' ἐμε εἰς τὴν κοίτην εἰσίν· ὐ δύναμαι ἀναστας δοναί σοι.

8 Λεγω ὑμῖν, εἰ καὶ ὐ δωσει αὐτῳ ἀναστας, διὰ τὸ εἶναι αὐτε φίλον· διά γε τὴν ἀναίδειαν αὐτε ἐγερθεὶς δωσει αὐτῳ ὁσων χρήζει.

Ἰωάννης ἐδίδαξε τους μαθητάδις τε.

2 Καὶ λεγει τους· ὁταν προσεύχεσθε, λέγετε· Ὦ ΠΑΤΕΡΑ μας ὁπε εἶσαι εἰς τους ὐρανους, ἂς ἁγιασθη το ὀνομά σε· ἂς ἐλθη ἡ βασιλεία σε, ἂς γενη το θέλημά σε, καθως εἰς τον ὐρανον, ετζὶ καὶ εἰς την γῆν.

3 Το ψωμὶ μας το καθημερινὸν δός μας το σημερον·

4 Καὶ συγχωρεσέ μας ταῖς ἁμαρτίαις μας· διατὶ καὶ ἐμεῖς συγχωρεμεν κάθε ἕνα ὁπε μᾶς χρεωσεῖ· καὶ μὴν μᾶς βάλης εἰς πειρασμον, ἀλλὰ ἐλευθέρωσε μας ἀπὸ τον πονηρόν.

5 Καὶ εἶπέν τους· Ποῖ⊙ ἀπὸ σᾶς νὰ ἠθελεν ἔχη φίλον, καὶ νὰ ἠθελε ὑπάγη εἰς αὐτὸν την ὡραν τοῦ μισονυκτιε, νὰ του εἰπη· Ὦ φίλε, δάνεισε με τρία ψωμία·

6 Ἐπειδὴ φίλ⊙ με ἦλθεν ἀπὸ γράτα, καὶ δὲν ἐχω τί νὰ τοῦ βάλλω ὀμπροστὰ τε·

7 Καὶ ἐκεῖν⊙ νὰ ἠθελεν ἀποκριθη ἀπο μεσα νὰ εἰπη· Μὴ με πειράζης, οτι τωρα ἡ θύρα με ἐσφάλισε, καὶ τὰ παιδία με κοιμενται μαζύ με· καὶ δὲν ἠμπορῶ νὰ σηκωθω νὰ σὲ δωσω.

8 Λεγω σας, ἀγκαλὰ καὶ δὲν θελει σηκωθη νὰ του δωση διὰ την φιλίαν· ὁμως διὰ την ἀδιαντροπίαν τε θέλει σηκωθη νὰ του δωση ὁσον χρειάζεται.

9 Καγὼ ὑμῖν λέγω· Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν.

10 Πας γὰρ ὁ αἰτῶν λαμβάνει· καὶ ὁ ζητῶν εὑρίσκει· καὶ τῷ κρούοντι ἀνοιγήσεται·

11 Τίνα δὲ ἐξ ὑμῶν τὸν πατέρα αἰτήσει ὁ υἱὸς ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; εἰ καὶ ἰχθύν, μὴ ἀντὶ ἰχθύος ὄφιν ἐπιδώσει αὐτῷ;

12 Ἢ καὶ ἐὰν αἰτήσῃ ᾠόν, μὴ ἐπιδώσει αὐτῷ σκορπίον;

13 Εἰ οὖν ὑμεῖς πονηροὶ ὑπάρχοντες, οἴδατε ἀγαθὰ δόματα διδόναι τοῖς τέκνοις ὑμῶν πόσῳ μᾶλλον ὁ πατὴρ ὁ ἐξ οὐρανοῦ, δώσει Πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτόν.

14 Καὶ ἦν ἐκβάλλων δαιμόνιον, καὶ αὐτὸ ἦν κωφόν· ἐγένετο δὲ τοῦ δαιμονίου ἐξελθόντος, ἐλάλησεν ὁ κωφός· καὶ ἐθαύμασαν οἱ ὄχλοι.

15 Τινες δὲ ἐξ αὐτῶν εἶπον· Ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια.

16 Ἕτεροι δὲ πειράζοντες, σημεῖον παρ' αὐτοῦ ἐζήτουν ἐξ οὐρανοῦ.

17 Αὐτὸς δὲ εἰδὼς αὐτῶν τὰ διανοήματα, εἶπεν αὐτοῖς·

9 Και εγὼ σᾶς λεγω· Ζητᾶτε, και θέλει σᾶς δοθῆ· γυρεύετε, καὶ θέλετε εὕρει· κρούετε, και θελει σᾶς ἀνοιχθῆ.

10 Διατὶ οποιος ζητα, πέρνει· και οποιος γυρευει, ευρισκει· και ὅποιος κρούει, θέλει τὴ ἀνοιχθῆ.

11 Καὶ ἀποτ' εσᾶς ποῖος να ἦτον πατέρας, καὶ νὰ τὸ ζηλήση ὁ υἱός του ψωμι, μηνα θέλετε δώσει πέτραν; καὶ ἐὰν (θέλει τοῦ ζητηση) ψάρι, μηνα ἀντὶ ψάρι θέλετε τοῦ δώσει φίδι;

12 Ἢ καὶ ἂν θέλει ζητηση αὐγὸν, μηνα θέλετε του δώσει σκορπιον;

13 Ἂν τὸ λοιπὸν ἐσεῖς ὁπού εἶσθε ποννηροὶ, ἐξεύρετε νὰ δίδετε καλὰ δοσίματα εἰς τὰ παιδία σας, ποσῳ μᾶλλον ὁ πατηρ ὁ οὐράνιος θέλει δώσει Πνευμα ἅγιον εἰς ἐκείνες ὁπού τὸ ζητοῦσι;

14 Καὶ τότε εἶχεν εὐγάλει ἕνα δαιμόνιον, τὸ ὁποῖον ἦτον βωβόν· καὶ ὅταν εὐγῆκε τὸ δαιμόνιον, ἐλάλησεν ὁ βωβός· καὶ οἱ ὄχλοι ἐθαύμασαν.

15 Καὶ καποιοι ἀπ' αὐτες εἶπαν· Με τὸν Βεελζεβοὺλ τὸν ἄρχοντα των δαιμονίων εὐγάνει τα δαιμόνια.

16 Καὶ ἄλλοι τὸν ἐπείραζαν, και ἐζήτησαν ἀπ' αὐτὸν σημαδι ἀπὸ τὸν οὐρανόν.

17 Καὶ αὐτὸς γνωρίζωνλας τες διαλογισμὸς τες, τες εἶπεν·

Πᾶσα βασιλεία ἐφ' ἑαυτὴν διαμερισθεῖσα ἐρημοῦται, καὶ οἶκος ἐπὶ οἶκον πίπτει.

18 Εἰ δὲ καὶ ὁ Σατανᾶς ἐφ' ἑαυτὸν διεμερίσθη, πῶς σταθήσεται ἡ βασιλεία αὐτοῦ; ὅτι λέγετε, ἐν Βεελζεβοὺλ ἐκβάλλειν με τὰ δαιμόνια.

19 Εἰ δὲ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; διὰ τοῦτο κριταὶ ὑμῶν αὐτοὶ ἔσονται.

20 Εἰ δὲ ἐν δακτύλῳ Θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ.

21 Ὅταν ὁ ἰσχυρὸς καθωπλισμένος φυλάσσῃ τὴν ἑαυτοῦ αὐλήν, ἐν εἰρήνῃ ἐστὶ τὰ ὑπάρχοντα αὐτοῦ.

22 Ἐπὰν δὲ ὁ ἰσχυρότερος αὐτοῦ ἐπελθὼν νικήσῃ αὐτόν, τὴν πανοπλίαν αὐτοῦ αἴρει ἐφ' ᾗ ἐπεποίθει, καὶ τὰ σκῦλα αὐτοῦ διαδίδωσιν.

23 Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι· καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει.

24 Ὅταν τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, διέρχεται δι' ἀνύδρων τόπων, ζητοῦν ἀνάπαυσιν· καὶ μὴ εὑρίσκον, λέγει· Ὑποστρέψω εἰς τὸν οἶκόν μου ὅθεν ἐξῆλθον.

Κάθε βασιλεία ὅπου νὰ διαμοιρασθῇ εἰς τὸν λόγον της ἐρημώνεται, καὶ τὸ σπῆτι (ἂν μοιρασθῇ) εἰς τὸν λόγον του πέφτει.

18 Καὶ ἂν ὁ Σατανᾶς διεμοιράσθη εἰς τὸν λόγον του, πῶς θέλει σταθῇ ἡ βασιλεία του; διατὶ λέγετε, ὅτι μὲ τὸν Βεελζεβοὺλ ἐυγάλω τὰ δαιμόνια.

19 Καὶ ἂν ἐγὼ ἐυγάνω τὰ δαιμόνια μὲ τὸν Βεελζεβοὺλ, οἱ υἱοί σας μὲ τί τὰ ἐὐγανοῦσι; διὰ τοῦτο αὐτοὶ θέλουν γενεῖ κριτάδες σας.

20 Ἀμὴ ἂν ἐγὼ ἐυγάνω τὰ δαιμόνια μὲ τὸ δάκτυλον τοῦ Θεοῦ, ἐφθασε λοιπὸν εἰς ἐσᾶς ἡ βασιλεία τοῦ Θεοῦ.

21 Ὅταν ὁ δυνατὸς ἁρματωμένος φυλάγει τὴν αὐλήν του, εἶναι εἰρηνη εἰς τὰ ὑπάρχοντά του.

22 Ἀμὴ ὁπόταν ἐλθῃ ὁ δυνατώτερος του καὶ τὸν νικήσῃ, παίρει τὴν ἁρματωσιάν του, εἰς τὴν ὁποίαν ἠλπίζε, καὶ διαμοιράζει τὰ κερσεύματά του.

23 Ἐκεῖνος ὁπου δὲν εἶναι μετ' ἐμένα, εἶναι ἐναντίος μου· καὶ ἐκεῖνος ὁπου δὲν μαζώνει μαζὺ μετ' ἐμένα, σκορπίζει.

24 Ὅταν τὸ ἀκάθαρτον πνεῦμα εὔγῃ ἔξω ἀπὸ τὸν ἄνθρωπον, περνᾷ ἀπὸ μέσα ἀπὸ ἄνυδρους τόπους, καὶ γυρεύει ἀναπαυσιν· καὶ ὡσὰν δὲν εὕρει, λέγει· Ἂς γυρισω εἰς τὸ σπῆτι μου, ἀπ' ἐκεῖ ὁπου εὐγηκα.

25 Και ελθὸν εὑρίσκει σεσαρωμένον καὶ κεκοσμημένον.

26 Τότε πορεύεται καὶ παραλαμβάνει ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυτῆ, καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ· καὶ γίνεται τὰ ἔσχατα τῦ ἀνθρώπυ ἐκείνυ χείρονα τῶν πρώτων.

27 Ἐγένετο δὲ ἐν τῷ λέγειν αὐτὸν ταῦτα, ἐπάρασά τις γυνὴ φωνὴν ἐκ τοῦ ὄχλυ, εἶπεν αὐτῷ· Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε, καὶ μαστοὶ οὓς ἐθήλασας.

28 Αὐτὸς δὲ εἶπε· Μενοῦνγε μακάριοι οἱ ἀκούοντες τὸν λόγον τῦ Θεῦ, καὶ φυλάσσοντες αὐτόν.

29 Τῶν δὲ ὄχλων ἐπαθροιζομένων ἤρξατο λέγειν· Ἡ γενεὰ αὕτη πονηρά ἐστι· σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτυ.

30 Καθὼς γὰρ ἐγένετο Ἰωνᾶς σημεῖον τοῖς Νινευίταις, οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπυ τῇ γενεᾷ ταύτῃ.

31 Βασίλισσα νότυ ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ τῶν ἀνδρῶν τῆς γενεᾶς ταύτης, καὶ κατακρινεῖ αὐτυς· ὅτι ἦλθον ἐκ τῶν περάτων τῆς γῆς ἀκῦσαι τὴν σοφίαν Σολομῶντος· καὶ ἰδὲ, πλεῖον Σολομῶντος ὧδε.

32 Ἄνδρες Νινευὶ ἀναστήσον-

25 Καὶ ὡσὰν ἐλθῃ καὶ τὸ εὕρει σαρωμένον καὶ τολισμένον.

26 Τότε πάγει καὶ πέρνει ἄλλα ἑπτὰ πνεύματα πονηρότερα ἀπὸ λόγυ τυ, καὶ ἐρχυνται καὶ ἐμβαίνυν καὶ κατοικῦν ἐκεῖ· καὶ γίνεται τὰ ὕστερα τυ ἀνθρώπυ ἐκείνυ χειρότερα ἀπο τα πρωτα.

27 Καὶ ὅταν ἐλεγεν ὁ Ἰησῦς ἐτυτα, μία γυναῖκα ἀπὸ το πλήθ☉ ἐσήκωσε φωνην, καὶ εἶπεν τυ· Καλότυχη ἡ κοιλία ὁπυ σε ἐβάσαξε, καὶ τὰ βυζία ὁπυ ἐβύζασες.

28 Καὶ αὐτος εἶπεν· Μᾶλλον περισσοτερον καλότυχοι εἶναι ἐκεῖνοι ὁπυ ἀκῦν τὸν λόγον τυ Θεῦ, και τον φυλάττυν.

29 Καὶ συμμαζωνομένον τὸ πλήθ☉ ἀρχισε νὰ τὺς λέγη· Ἡ γενεὰ ἐτυτη εἶναι ποιηρὴ· καὶ γυρευει σημάδι, καὶ σημάδι δεν θελει της δοθῆ, παρὰ μοναχὰ τὸ σημαδι τυ Ιωνᾶ τυ προφήτυ.

30 Διατι καθως εγινεν ὁ Ἰωνᾶς σημάδι εις τυς Νινευίτας, ετζι θέλει εἶσθαι καὶ ὁ υἱὸς τυ ἀνθρώπυ εις την γενεὰν ἐτύτην.

31 Βασίλισσα τε νότυ θέλει σηκωθῆ εις την κρίσιν μὲ τυς ἀνθρώπυς της γενεᾶς ἐτύτης, και θέλει τυς κατακρίνει· οτι ἦλθεν ἀπὸ ταῖς ἄκραις της γῆς να ακυση την σοφίαν τυ Σολομωντ☉· καὶ νά, ἐδῶ περισσότερον ἀπο τὸν Σολομωντα.

32 Οἱ ἄνδρες της Νινευι θελυ-

ται εἰς τὴ κρίσει μετα τῆς γενεᾶς ταύτης, καὶ κατακρινῦσιν αὐτήν· ὁτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ· καὶ ἰδὺ, σλεῖον Ἰωνᾶ ὧδε.

33 Οὐδεὶς δὲ λύχνον ἅψας, εἰς κρυπτὴν τίθησιν, οὐδὲ ὑπὸ τὸν μοδιον, ἀλλὰ ἐπὶ τὴν λυχνίαν, ἵνα οἱ εἰσπορευόμενοι τὸ φέγγ☉ βλέπωσιν.

34 Ὁ λυχν☉ τοῦ σωματός ἐστιν ὁ ὀφθαλμός· ὅταν οὖν ὁ ὀφθαλμός σε ἁπλῦς ᾖ, καὶ ὁλον τὸ σῶμα σε φωτεινὸν ἐστι· ὅπὰν δὲ πονηρὸς ᾖ, καὶ τὸ σωμά σε σκοτεινόν.

35 Σκόπει οὖν μὴ τὸ φῶς τὸ ἐν σοὶ, σκότ☉ ἐστίν.

36 Εἰ οὖν τὸ σωμά σε ὅλον φωτεινὸν, μὴ ἔχον τὶ μερος σκοτεινὸν, ἔσαι φωτεινὸν ὅλον, ὡς ὅταν ὁ λυχν☉ τῆ ἀστραπῆ φωτίζη σε.

37 Ἐν δὲ τῳ λαλῆσαι, ἠρώτα αὐτὸν Φαρισαῖ☉ τις ὅπως ἀριστήση παρ αὐτῳ· εἰσελθὼν δὲ ἀνέπεσεν.

38 Ὁ δὲ Φαρισαῖ☉ ἰδὼν ἐθαυμασεν ὁτι οὐ πρῶτον ἐβαπτίσθη πρὸ τοῦ ἀρίστου.

σιν ἀναστᾶῆ εἰς τὴν κρίσιν μὲ τὴν γενεὰν ταύτην, καὶ θελὴν τὴν κατακρίνει· ὅτι ἐκεῖνοι ἐμετανόησαν εἰς τὸ κηρυγμα τοῦ Ἰωνᾶ· καὶ νὰ, ἐδῶ περισσότερον ἀπὸ τὸν Ἰωνᾶ.

33 Καὶ κανεὶς δὲν ἀνάπλει λύχνον, καὶ τὸν βάνει εἰς κρυφὸν τόπον, οὐδὲ τὸν βάνει ἀπὸ κάτω εἰς τὸ μόδι, καὶ τὸν σκεπάζει, ἀλλὰ τὸν βάνει εἰς τὸν λυχνοστάτην, διὰ νὰ βλέπωσι τὸ φως ἐκεῖνοι ὁπὸ ἐμβαίνουν μεσα.

34 Ὁ λύχν☉ τοῦ κορμιὸ εἶναι τὸ μάτι· ὅταν εἶναι τὸ μάτι σε καθαρὸν, καὶ ὁλον τὸ κορμί σε εἶναι φωτεινόν· ἀμὴ ὅταν εἶναι διεφθαρμένον, καὶ τὸ κορμί σε εἶναι σκοτεινόν.

35 Στοχάσου λοιπὸν, μήπως τὸ φως ὁπὸ εἶναι εἰς ἐσένα, εἶναι σκότ☉.

36 Ἐαν λοιπὸν ὁλον σε τὸ κορμὶ εἶναι φωτεινὸν, καὶ δὲν ἔχει κανενα μέρ☉ σκοτεινὸν, θέλει εἶσθαι ὁλον φωτεινὸν ὡσαν ὅταν ὁ λύχν☉ σε φεγγη μὲ τὴν λαμψιν του.

37 Καὶ ὡσαν ἐλάλησέ τὸν λόγον, ἕνας Φαρισαῖ☉ τὸν ἐπαρακάλει νὰ πάγη τὰ φαγῆ μετ αὐτόν· καὶ πηγαίνωντας ἐκάθισε.

38 Καὶ ὁ Φαρισαῖ☉ ὡσὰν τὸν εἶδεν ὁτι δὲν ἐνίφθη πρῶτον πρὸ τοῦ νὰ φαγη, ἐθαύμασε.

39 Εἶπε δὲ ὁ Κύριος πρὸς αὐτόν· Νῦν ὑμεῖς οἱ Φαρισαῖοι τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τοῦ πίνακος καθαρίζετε· τὸ δὲ ἔσωθεν ὑμῶν γέμει ἁρπαγῆς καὶ πονηρίας.

40 Ἄφρονες, οὐχ ὁ ποιήσας τὸ ἔξωθεν, καὶ τὸ ἔσωθεν ἐποίησε;

41 Πλὴν τὰ ἐνόντα δότε ἐλεημοσύνην· καὶ ἰδοὺ, πάντα καθαρὰ ὑμῖν ἐστιν.

42 Ἀλλ' οὐαὶ ὑμῖν τοῖς Φαρισαίοις, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ πήγανον καὶ πᾶν λάχανον, καὶ παρέρχεσθε τὴν κρίσιν καὶ τὴν ἀγάπην τοῦ Θεοῦ· ταῦτα ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφεῖναι.

43 Οὐαὶ ὑμῖν τοῖς Φαρισαίοις, ὅτι ἀγαπᾶτε τὴν πρωτοκαθεδρίαν ἐν ταῖς συναγωγαῖς, καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς.

44 Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι ἐστὲ ὡς τὰ μνημεῖα τὰ ἄδηλα, καὶ οἱ ἄνθρωποι οἱ περιπατοῦντες ἐπάνω οὐκ οἴδασιν.

45 Ἀποκριθεὶς δέ τις τῶν νομικῶν λέγει αὐτῷ· Διδάσκαλε, ταῦτα λέγων καὶ ἡμᾶς ὑβρίζεις.

46 Ὁ δὲ εἶπε· Καὶ ὑμῖν τοῖς

39 Καὶ ὁ Κύριος εἶπεν εἰς αὐτόν· Ἐσεῖς οἱ Φαρισαῖοι τὸ ἔξω τοῦ ποτηριοῦ καὶ τοῦ πιακίου καθαρίζετε· ἀμὴ τὸ μέσα σας εἶναι γεμάτον ἀπὸ ἁρπαγὴν καὶ πονηρίαν.

40 Ὦ ἄφρονες, ἐκεῖνος ὁποῦ ἔκαμε τὸ ἔξω, δὲν ἔκαμε καὶ τὸ μέσα;

41 Μὲ ὅλον τοῦτο ἐκεῖνα ὁποῦ ἔχετε δότε τα ἐλεημοσύνην, καὶ ὅλα σας θέλει εἶσθαι καθαρά.

42 Ἀλλὰ ἀσιλύμονον εἰς ἐσᾶς τοὺς Φαρισαίους, ὅτι ἀποδεκατίζετε τὸ ἡδύοσμον καὶ τὸ πήγανον καὶ κάθε λάχανον, καὶ ἀφίνετε τὴν κρίσιν καὶ τὴν ἀγάπην τοῦ Θεοῦ· ἐτοῦτα ἔπρεπε νὰ κάμετε, καὶ ἐκεῖνα νὰ μὴν ἀφίνετε.

43 Ἀσιλύμονον εἰς ἐσᾶς τοὺς Φαρισαίους, ὅτι ἀγαπᾶτε τὴν πρωτοκαθεδρίαν εἰς τὰ συναγώγια, καὶ τοὺς ἀσπασμοὺς εἰς τὰς φόρας.

44 Ἀσιλύμονον εἰς ἐσᾶς γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι εἶσθε ὡσὰν τὰ μνημόρια ὁποῦ δὲν φαίνονται, καὶ οἱ ἄνθρωποι περιπατοῦσι ἀπάνω καὶ δὲν ἰξεύρουσιν.

45 Ἀπεκρίθη ἕνας ἀπὸ τοὺς νομικοὺς, καὶ λέγει τοῦ· Διδάσκαλε, ἐσὺ λέγοντας ἔτζι καὶ ἐμᾶς ὑβρίζεις.

46 Καὶ ὁ Ἰησοῦς εἶπεν· Ἀσι-

νομικοῖς οὐαὶ, ὅτι φορτίζετε τοὺς ἀνθρώπους φορτία δυσβάστακτα, καὶ αὐτοὶ ἑνὶ τῶν δακτύλων ὑμῶν οὐ προσψαύετε τοῖς φορτίοις.

47 Οὐαὶ ὑμῖν, ὅτι οἰκοδομεῖτε τὰ μνημεῖα τῶν προφητῶν, οἱ δὲ πατέρες ὑμῶν ἀπέκτειναν αὐτούς.

48 Ἄρα μαρτυρεῖτε καὶ συνευδοκεῖτε τοῖς ἔργοις τῶν πατέρων ὑμῶν· ὅτι αὐτοὶ μὲν ἀπέκτειναν αὐτούς, ὑμεῖς δὲ οἰκοδομεῖτε αὐτῶν τὰ μνημεῖα.

49 Διὰ τοῦτο καὶ ἡ σοφία τοῦ Θεοῦ εἶπεν· Ἀποστελῶ εἰς αὐτοὺς προφήτας, καὶ ἀποστόλους, καὶ ἐξ αὐτῶν ἀποκτενοῦσι καὶ ἐκδιώξουσιν·

50 Ἵνα ἐκζητηθῇ τὸ αἷμα πάντων τῶν προφητῶν, τὸ ἐκχυνόμενον ἀπὸ καταβολῆς κόσμου, ἀπὸ τῆς γενεᾶς ταύτης,

51 Ἀπὸ τοῦ αἵματος Ἄβιλ, ἕως τοῦ αἵματος Ζαχαρίου, τοῦ ἀπολομένου μεταξὺ τοῦ θυσιαστηρίου καὶ τοῦ οἴκου· ναὶ λέγω ὑμῖν, ἐκζητηθήσεται ἀπὸ τῆς γενεᾶς ταύτης.

52 Οὐαὶ ὑμῖν τοῖς νομικοῖς, ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως· αὐτοὶ οὐκ εἰσήλθετε, καὶ τοὺς εἰσερχομένους ἐκωλύσατε.

53 Λεγόντων δὲ αὐτοῦ ταῦτα

λύμονον καὶ εἰς ἰσᾶς τοὺς νομικούς, ὅτι φορτώνετε τοὺς ἀνθρώπους φορτία δυσκολοσήκωτα, καὶ ἐσεῖς κἂν μηδὲ μὲ ἕνα δάκτυλον δὲν θέλετε νὰ τ' ἀγγίξετε.

47 Ἀειλυμονον εἰς ἰσᾶς, ὅτι οἰκοδομᾶτε τὰ μνημεῖα τῶν προφητῶν, καὶ οἱ πατέρες σας τοὺς ἐσκότωσαν.

48 Τὸ λοιπὸν μαρτυρεῖτε, καὶ συμφωνᾶτε εἰς τὰ καμώματα τῶν πατερων σας· ὅτι αὐτοὶ τοὺς ἐσκότωσαν, καὶ ἐσεῖς κτίζετε τὰ μνημεῖα τους.

49 Διὰ τοῦτο εἶπεν ἡ σοφία τοῦ Θεοῦ· Θέλω στείλει εἰς αὐτοὺς προφήτας καὶ ἀποστόλους, καὶ θέλων σκοτώσει ἀπ' αὐτοὺς, καὶ θέλων διώξει·

50 Διὰ νὰ ζητηθῇ τὸ αἷμα ὁλονῶν τῶν προφητῶν, ὁπὲ ἐχύθη ἀπὸ τὴν ἀρχὴν τοῦ κόσμου, ἀπὸ τὴν γενεὰν ἐτούτην,

51 Ἀπὸ τὸ αἷμα τοῦ Ἄβιλ τοῦ δικαίου, ἕως τὸ αἷμα τοῦ Ζαχαρίου, ὁπὲ ἐσκοτώθη ἀνάμεσα εἰς τὸ θυσιαστήριον καὶ εἰς τὸ σπῆτι (τοῦ Θεοῦ·) βέβαια σᾶς λεγω, ἀπὸ τὴν γενεὰν ἐτούτην θέλει ζητηθῇ.

52 Ἀειλυμονον εἰς ἰσᾶς τοὺς νομικούς, ὅτι ἐσηκώσετε τὸ κλειδὶ τῆς γνώσεως· καὶ ἐσεῖς δὲν ἐμβήκετε, καὶ ἐκείνους ὁπὲ ἐμβαίναν τοὺς ἐμποδίσετε.

53 Καὶ λεγωλας ἐτοῦτα τα

πρὸς αὐτὰς, ἤρξαντο οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι δεινῶς ἐνέχειν, καὶ ἀποστοματίζειν αὐτὸν περὶ πλειόνων·

54 Ἐνεδρεύοντες αὐτὸν, καὶ ζητοῦντες θηρεῦσαί τι ἐκ τοῦ στόματος αὐτοῦ, ἵνα κατηγορήσωσιν αὐτοῦ.

λόγια ὁ Ἰησοῦς εἰς αὐτὰς, ἄρχισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι νὰ τὸν ἐχθρεύωνται πικρα, καὶ νὰ τὸν ἐρωτῶν διὰ πολλὰ, θέλοντες νὰ τὸν παγιδεύσουν.

54 Καὶ ἐγύρευαν νὰ πάρουν ἀπὸ τὸ στόμα του λόγον, διὰ νὰ τὸν κατηγορήσουν.

Κεφ. ιβ'. 12.

ΕΝ οἷς ἐπισυναχθεισων τῶν μυριάδων τοῦ ὄχλου, ὥστε καταπατεῖν ἀλλήλους, ἤρξατο λέγειν πρὸς τοὺς μαθητὰς αὐτοῦ· Πρῶτον προσέχετε ἑαυτοῖς ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων, ἥτις ἐστὶν ὑπόκρισις.

2 Οὐδὲν δὲ συγκεκαλυμμένον ἐστὶν ὃ οὐκ ἀποκαλυφθήσεται· καὶ κρυπτὸν, ὃ οὐ γνωσθήσεται.

3 Ἀνθ' ὧν ὅσα ἐν τῇ σκοτίᾳ εἴπατε, ἐν τῷ φωτὶ ἀκουσθήσεται· καὶ ὃ πρὸς τὸ οὖς ἐλαλήσατε ἐν τοῖς ταμείοις κηρυχθήσεται ἐπὶ τῶν δωμάτων.

4 Λέγω δὲ ὑμῖν τοῖς φίλοις μου· Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, καὶ μετὰ ταῦτα μὴ ἐχόντων περισσότερόν τι ποιῆσαι.

5 Ὑποδείξω δὲ ὑμῖν τίνα φο-

Ἀμέσα εἰς τὰτα (τα λόγια) ἐσυνάχθησαν μυριάδες ὀχλου, εἰς τόσον, ὅπου ἐκαλοπατοῦσαν ἕνας τὸν ἄλλον· καὶ ἄρχισε νὰ λεγῃ εἰς τοὺς μαθητάδες του· Πρῶτον ἔχετε τὸν νοῦ σας ἀπὸ τὴν ζύμην τῶν φαρισαίων, ἡ ὁποία εἶναι ὑπόκρισις.

2 Καὶ δὲν εἶναι κανένα σκεπασμένον ὅπου νὰ μὴν ξεσκεπασθῇ· καὶ κρυφὸν, ὅπου νὰ μὴν γνωρισθῇ.

3 Διὰ τοῦτο ὅσα εἴπετε εἰς τὰ σκοτεινὰ, θέλουσιν ἀκουσθῇ εἰς τὸ φῶς· καὶ ἐκεῖνο ὅπου ἐλαλήσετε κρυφα εἰς τὸ αὐτὶ εἰς ταῖς καμαραῖς σας, θέλει κηρυχθῇ εἰς τὰ δώματα.

4 Καὶ λέγω εἰς ἐσᾶς τοὺς φίλους μου· Μὴν φοβηθῆτε ἀπ' ἐκείνους ὁπὸ σκοτώνουν τὸ κορμὶ, καὶ ὕστερον δὲν ἠμποροῦν νὰ κάμουν τίποτες περισσότερον.

5 Ἀμὴ ἐγὼ νὰ σᾶς δείξω τι-

βηθητε· φοβηθητε τὸν μετὰ τὸ ἀποκτεῖναι, ἐξουσίαν ἔχοντα ἐμβαλεῖν εἰς τὴν γεενναν· ναὶ λέγω ὑμῖν, τοῦτον φοβηθητε.

6 Οὐχὶ πέντε στρουθία πωλεῖται ἀσσαρίων δύο, καὶ ἓν ἐξ αὐτῶν οὐκ ἔστιν ἐπιλελησμένον ἐνώπιον τοῦ Θεοῦ;

7 Ἀλλὰ καὶ αἱ τρίχες τῆς κεφαλῆς ὑμῶν πᾶσαι ἠρίθμηνται· μὴ οὖν φοβεῖσθε· πολλῶν στρουθίων διαφέρετε.

8 Λέγω δὲ ὑμῖν· Πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν ἀγγέλων τοῦ Θεοῦ.

9 Ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων, ἀπαρνηθήσεται ἐνώπιον τῶν ἀγγέλων τοῦ Θεοῦ.

10 Καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· τῷ δὲ εἰς τὸ ἅγιον πνεῦμα βλασφημήσαντι οὐκ ἀφεθήσεται.

11 Ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγὰς καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε πῶς ἢ τί ἀπολογήσησθε, ἢ τί εἴπητε·

ναν νὰ φοβηθητε· φοβηθητε ἐκεῖνον ὁποῦ ἀφοὺ τις σκοτώσει, ἔχει ἐξουσίαν νὰ βάλλῃ εἰς τὴν γεενναν· καὶ βεβαια σᾶς λέγω, τοῦτον φοβηθητε.

6 Δὲν πωλοῦνται πέντε πουλία δυο φόλλαις, καὶ τὸ ἕνα ἀπ᾽ αὐτὰ δὲν εἶναι λησμονημένον ὁμπροσα εἰς τὸν Θεόν.

7 Ἀλλα καὶ αἱ τρίχες τῆς κεφαλῆς σας ὁλαις εἶναι μετρημεναις· μὴν φοβηθητε λοιπόν· ἀπὸ πολλὰ πουλία διαφερετε.

8 Καὶ λεγω σας· Ὅτι ὁποιος μὲ ὁμολογησει ὁμπροσα εἰς τους ἀνθρωπους, καὶ ὁ υἱὸς του ἀνθρωπου θελει τὸν ὁμολογησει ὁμπροσα εἰς τους ἀγγελους του Θεοῦ.

9 Καὶ ἐκεῖνος ὁποῦ μὲ ἀρνηθῇ ὁμπροσὰ εἰς τους ἀνθρωπους, θελει τὸν ἀρνηθῇ καὶ ὁ υἱὸς του ἀνθρώπου ὁμπροσὰ εἰς τους ἀγγελους του Θεοῦ.

10 Καὶ κάθε ἕνας ὁποῦ θέλει εἰπεῖ λογον εἰς τὸν υἱὸν του ἀνθρώπου, θέλει του συγχωρηθῇ· ἀμὰ ἐκεῖνος ὁποῦ βλασφημησει εἰς τὸ Πνεῦμα τὸ ἅγιου δὲν θελει συγχωρηθῇ.

11 Καὶ ὅταν Σᾶς φέρουσιν ὁμπροσα εἰς ταῖς συναγωγαῖς καὶ εἰς ταῖς ἀρχαῖς καὶ εἰς ταῖς ἐξουσίαις, μὴν ἔχετε ἔννοιαν πως ἢ τὶ λογὶς νὰ ἀποκριθητε, ἢ τι θελετε εἰπεῖ·

12 Το γαρ αγιον Πνεῦμα διδαξει ὑμᾶς ἐν αὐτῃ τῃ ωρα, ἃ δει εἰπειν.

13 Εἰπε δε τις αὐτῳ ἐκ του ὀχλου· Διδασκαλε, εἰπε τῳ ἀδελφῳ μου μερισασθαι μετ' ἐμου την κληρονομιαν.

14 Ο δε εἰπεν αὐτῳ· Ἄνθρωπε, τις με κατεστησε δικαστην ἢ μεριστην ἐφ' ὑμᾶς;

15 Εἰπε δε προς αὐτους· Ορᾶτε και φυλασσεσθε ἀπο της πλεονεξιας· ὁτι οὐκ ἐν τῳ περισσευειν τινι ἡ ζωη αὐτου ἐστιν ἐκ των ὑπαρχοντων αὐτου.

16 Εἰπε δε παραβολην προς αὐτους, λεγων· Ἀνθρωπου τινος πλουσιου εὐφορησεν ἡ χωρα.

17 Και διελογιζετο ἐν ἑαυτῳ, λεγων· Τι ποιησω; ὁτι οὐκ ἐχω που συναξω τους καρπους μου.

18 Και εἰπε· Τουτο ποιησω· καθελω μου τας ἀποθηκας, και μειζονας οἰκοδομησω· και συναξω ἐκει παντα τα γενηματα μου και τα ἀγαθα μου

19 και ἐρω τῃ ψυχῃ μου· Ψυχη, ἐχεις πολλα ἀγαθα κειμενα εἰς ἐτη πολλα· ἀναπαυου, φαγε, πιε, εὐφραινου.

12 Διατι το ἁγιον Πνεῦμα θελει ζωης διδαξει εἰς ἐκεινην την ὡραν, ἐκεινα ὁπου καμνει χρεια νὰ εἰπητε.

13 Και καποιος ἀπο του ὀχλου του εἰπε· Διδασκαλε, εἰπε του ἀδελφου μου νὰ μοιρασῃ μαζι μου την κληρονομιαν.

14 Καὶ ὁ Ἰησους του εἰπεν· Ὦ ἄνθρωπε, και τις με κατεστησε δικαστην ἢ μοιραστην εἰς ἐσας;

15 Και λεγει τους· Βλεπετε καὶ φυλαγεσθε ἀπο την πλεονεξιαν· διατι ἀγκαλὰ καὶ περισσευῃ τινος τα ὑπαρχοντα του, ἡ ζωη του δεν εἶναι ἀπ' ἐκεινα.

16 Καὶ εἶπεν τους μιαν παραβολην, λεγωντας· Ενος ἀνθρωπου πλουσιου εὐτυχησαν τὰ χωραφια του.

17 Καὶ ἐδιαλογιζωντουν μεσα του, καὶ ελεγε· Τί θελω κάμει; ὁπου δεν ἐχω ποῦ νὰ μαζωξω τους καρπους μου.

18 Και εἰπεν· Ετουτο θελω κάμει· θελω χαλάσει ταῖς ἀποθηκαις μου, καὶ θελω ταῖς κάμει μεγαλίτειραις· καὶ θελω μαζωξει ἐκεῖ ὅλα τα γενηματά μου και τὰ ἀγαθά μου·

19 Καὶ θέλω εἰπεῖ εἰς την ψυχην μου· Ὦ ψυχη, ἐχεις πολλὰ ἀγαθὰ ὁπου κεῖτωνται εἰς πολλους χρονους· ἀναπαύου, φάγε, πιέ, εὐφραινου.

20 Εἶπε δὲ αὐτῷ ὁ Θεός· Ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι ἔσται;

21 Οὕτως ὁ θησαυρίζων ἑαυτῷ, καὶ μὴ εἰς Θεὸν πλουτῶν.

22 Εἶπε δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ· Διὰ τοῦτο ὑμῖν λέγω, μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν, τί φάγητε· μηδὲ τῷ σώματι, τί ἐνδύσησθε.

23 Ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς, καὶ τὸ σῶμα, τοῦ ἐνδύματος.

24 Κατανοήσατε τοὺς κόρακας, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν· οἷς οὐκ ἔστι ταμεῖον, οὐδὲ ἀποθήκη, καὶ ὁ Θεὸς τρέφει αὐτούς· πόσῳ μᾶλλον ὑμεῖς διαφέρετε τῶν πετεινῶν;

25 Τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα;

26 Εἰ οὖν οὐδὲ ἐλάχιστον δύνασθε, τί περὶ τῶν λοιπῶν μεριμνᾶτε;

27 Κατανοήσατε τὰ κρίνα, πῶς αὐξάνει· οὐ κοπιᾷ, οὐδὲ νήθει· λέγω δὲ ὑμῖν, οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων.

20 Ἀμὴ ὁ Θεὸς τοῦ εἶπεν· Ὦ ἄγνωστε ἄνθρωπε, ἐτούτην τὴν νύκτα ζητοῦσι τὴν ψυχήν σου ἀπὸ σένα· καὶ ἐκεῖνα ὁποῦ ἑτοίμασες, τίνος θέλουσιν εἶσθαι;

21 Ἔτζι γίνεται εἰς ἐκεῖνον ὁποῦ θησαυρίζει εἰς τὸν λόγον του, καὶ δὲν πλουτεῖ εἰς τὸν Θεόν.

22 Καὶ εἶπεν εἰς τοὺς μαθητάδες του· Διὰ τοῦτο ζᾶς λέγω, μὴν ἐνοιάζεσθε διὰ τὴν ζωήν σας, τὶ νὰ φᾶτε· μηδὲ διὰ τὸ κορμί σας, τὶ νὰ ἐνδυθῆτε.

23 Ἡ ψυχὴ εἶναι περισσοτέρη ἀπὸ τὸ φαγί, καὶ τὸ κορμὶ, ἀπὸ τὸ φόρεμα.

24 Καταλάβετε τοὺς κόρακας, ὅτι οὐδὲ σπέρνουσιν, οὐδὲ θερίζουσιν· οἱ ὁποῖοι οὐδὲ κελλάρι ἔχουν, οὐδὲ ἀμπάρι, καὶ ὁ Θεὸς τοὺς τρέφει· πόσῳ μᾶλλον διαφέρετε ἐσεῖς ἀπὸ τὰ πετεινά;

25 Καὶ ποῖος ἀπὸ ζᾶς φροντίζοντας, ἠμπορεῖ νὰ βάλλῃ παραπάνω εἰς τὴν ἡλικίαν του κἂν μίαν πῆχυν;

26 Ἐὰν τὸ λοιπὸν δὲν δύνεσθε διὰ τὸ πολλὰ μικρὸν, τί ἐνοιάζεσθε διὰ τὰ λοιπά;

27 Καταλάβετε τὰ κρίνα, πῶς ἀναθρέφονται· καὶ δὲν κοπιάζουσιν, οὐδὲ νήθουσι· καὶ λέγω σας, οὐδὲ ὁ Σολομὼν μὲ ὅλην του τὴν δόξαν ἐνδύθη ὡσὰν ἕνα ἀπὸ τοῦτα.

28 Εἰ δὲ τὸν χόρτον ἐν τῷ ἀγρῷ σήμερον ὄντα, καὶ αὔριον εἰς κλίβανον βαλλόμενον ὁ Θεὸς ἔτως ἀμφιέννυσι, πόσω μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι;

29 Καὶ ὑμεῖς μὴ ζητεῖτε τί φάγητε, ἢ τί πίητε· καὶ μὴ μετεωρίζεσθε.

30 Ταῦτα γὰρ πάντα τὰ ἔθνη τοῦ κόσμου ἐπιζητεῖ· ὑμῶν δὲ ὁ πατὴρ οἶδεν ὅτι χρῄζετε τούτων.

31 Πλὴν ζητεῖτε τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.

32 Μὴ φοβοῦ, τὸ μικρὸν ποίμνιον· ὅτι εὐδόκησεν ὁ πατὴρ ὑμῶν δοῦναι ὑμῖν τὴν βασιλείαν.

33 Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην· ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς· ὅπου κλέπτης οὐκ ἐγγίζει, οὐδὲ σὴς διαφθείρει.

34 Ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ καὶ ἡ καρδία ὑμῶν ἔσται.

35 Ἔστωσαν ὑμῶν οἱ ὀσφύες περιεζωσμέναι, καὶ οἱ λύχνοι καιόμενοι·

36 Καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον ἑαυτῶν, πότε ἀναλύσει ἐκ τῶν

28 Καὶ ἂν ἴσως τὸ χορτάρι ὁποὺ εἶναι σήμερον εἰς τὸ χωράφι, καὶ αὔριον τὸ βάλλουσιν εἰς τὸν φοῦρνον ὁ Θεὸς ἔτζι τὸ ἐνδύνει, πόσω μᾶλλον ἐσᾶς, ὀλιγόπιστοι;

29 Καὶ ἐσεῖς μὴν γυρεύετε τι νὰ φᾶτε, ἢ τι νὰ πιῆτε· καὶ μὴν ὑψηλοφρονεῖτε.

30 Διατὶ ἐτοῦτα ὅλα τὰ ἔθνη τοῦ κοσμου τὰ ζητοῦσιν· ἀμὴ ὁ πατερας ὁ ἐδικός σας ἐξεύρει ὅτι τὰ χρειάζεσθεν ἐτοῦτα.

31 Μάλιστα ζητᾶτε τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ἐτοῦτα ὅλα θέλουν σᾶς προστεθῆ.

32 Μὴν φοβᾶσαι, ω μικρὸν ποίμνιον ὅτι ὁ πατὴρ σου ηὐδόκησε νὰ σᾶς δώσῃ τὴν βασιλείαν.

33 Πωλήσετε τὰ ὑπάρχοντά σας, καὶ δότε ἐλεημοσύνην· κάμετε εἰς τοῦ λόγου σας σακκούλια ὁποὺ δὲν παλαιώνουν, θησαυρὸν εἰς τὸν οὐρανὸν ὁποὺ νὰ μὴν λείπῃ ποτε· ἐκεῖ ὁποὺ οὔδε κλέπτης φθάνει, οὐδὲ σκώληκι χαλᾷ.

34 Διατὶ ὁπου εἶναι ὁ θησαυρός σας, ἐκεῖ θέλει εἶσθαι καὶ ἡ καρδία σας.

35 Ἂς εἶναι ἡ μίσαις σας ἐζωσμέναις, καὶ οἱ λυχνοι σας ἂς ἀναπτων·

36 Κάμετε καὶ ἐσεῖς ωσὰν τους ἀνθρώπους ἐκείνους ὁποὺ ἀναμένουσι τὸν αὐθέντην τους, πότε

γάμων· ἵνα ἐλθόντος καὶ κρούσαντος, εὐθέως ἀνοίξωσιν αὐτῷ.

37 Μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ κύριος εὑρήσει γρηγοροῦντας· ἀμὴν λέγω ὑμῖν, ὅτι περιζώσεται, καὶ ἀνακλινεῖ αὐτοὺς, καὶ παρελθὼν διακονήσει αὐτοῖς.

38 Καὶ ἐὰν ἐλθῇ ἐν τῇ δευτέρᾳ φυλακῇ καὶ ἐν τῇ τρίτῃ φυλακῇ ἔλθῃ, καὶ εὕρῃ οὕτω, μακάριοί εἰσιν οἱ δοῦλοι ἐκεῖνοι.

39 Τοῦτο δὲ γινώσκετε, ὅτι εἰ ἤδει ὁ οἰκοδεσπότης ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἄν, καὶ οὐκ ἂν ἄφηκε διορυχθῆναι τὸν οἶκον αὐτοῦ.

40 Καὶ ὑμεῖς οὖν γίνεσθε ἕτοιμοι· ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

41 Εἶπε δὲ αὐτῷ ὁ Πέτρος· Κύριε, πρὸς ἡμᾶς τὴν παραβολὴν ταύτην λέγεις, ἢ καὶ πρὸς πάντας;

42 Εἶπε δὲ ὁ Κύριος· Τίς ἄρα ἐστὶν ὁ πιστὸς οἰκονόμος καὶ φρόνιμος, ὃν καταστήσει ὁ κύριος ἐπὶ τῆς θεραπείας αὐτοῦ, τοῦ διδόναι ἐν καιρῷ τὸ σιτομέτριον;

43 Μακάριος ὁ δοῦλος

να γυρίση ἀπὸ τοὺς γάμους· καὶ ὁπόταν ἐλθῃ καὶ κτυπήσῃ να τοῦ ἀνοίξουν παρευθύς.

37 Καλότυχοι εἶναι ἐκεῖνοι οἱ δοῦλοι, τοὺς ὁποίους ὅταν ἐλθῃ ὁ αὐθέντης τους νὰ τοὺς εὕρῃ ξυπνητοὺς· βεβαια σας λέγω, ὅτι θέλει περιζωσθῆ, καὶ θέλει τοὺς καθίσει, καὶ θέλει περάσει να τους ὑπηρετήσῃ.

38 Καὶ ἐὰν ἐλθῃ εἰς τὴν δευτέραν βίγλαν, καὶ εἰς τὴν τρίτην βίγλαν, καὶ τοὺς εὕρῃ ἔτζι, καλότυχοι εἶναι οἱ δοῦλοι ἐκεῖνοι.

39 Καὶ τοῦτο ἠξεύρετε, ὅτι ἂν ἤξευρεν ὁ αὐθέντης τοῦ σπητίου ποίαν ὥραν ὁ κλέπτης ἔρχεται, ἤθελεν ἀγρυπνήσῃ, καὶ δὲν ἤθελεν ἀφίσῃ να τρυπήσουν τὸ σπητί του.

40 Καὶ ἐσεῖς λοιπὸν γίνεσθε ἑτοιμοι· ὅτι τὴν ὥραν ὁπου δὲν θαρρεῖτε, ἔρχεται ὁ υἱὸς τοῦ ἀνθρώπου.

41 Καὶ ὁ Πέτρος τοῦ εἶπεν· Αὐθέντη, διὰ λόγου μας λέγεις τὴν παραβολὴν ἐτούτην, ἢ καὶ εἰς ὅλους;

42 Καὶ εἶπεν τοῦ ὁ Κύριος· Ποῖος λοιπὸν εἶναι ἐκεῖνος ὁ πιστὸς οἰκονόμος καὶ φρόνιμος, τὸν ὁποῖον θέλει καταστήσει ὁ Κύριος εἰς τὴν ὑπηρεσίαν του, νὰ δίδῃ τοῦ καθενὸς εἰς τὸν καιρὸν τὸ μερτικὸν τῆς τροφῆς του;

43 Καλότυχος εἶναι ὁ

ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει ποιοῦντα ὕτως.

44 Ἀληθῶς λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν.

45 Ἐὰν δὲ εἴπῃ ὁ δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ· Χρονίζει ὁ κύριός μου ἔρχεσθαι· καὶ ἄρξηται τύπτειν τοὺς παῖδας καὶ τὰς παιδίσκας, ἐσθίειν τε καὶ πίνειν καὶ μεθύσκεσθαι.

46 Ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει· καὶ διχοτομήσει αὐτὸν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων θήσει.

47 Ἐκεῖνος δὲ ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου ἑαυτοῦ, καὶ μὴ ἑτοιμάσας, μηδὲ ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ, δαρήσεται πολλάς·

48 Ὁ δὲ μὴ γνούς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας· παντὶ δὲ ᾧ ἐδόθη πολὺ, πολὺ ζητηθήσεται παρ αὐτοῦ· καὶ ᾧ παρέθεντο πολὺ, περισσότερον αἰτήσουσιν αὐτόν.

49 Πῦρ ἦλθον βαλεῖν εἰς τὴν γῆν, καὶ τί θέλω εἰ ἤδη ἀνήφθη;

δοῦλος ἐκεῖνος, τὸν ὁποῖον ὅταν ἔλθῃ ὁ αὐθέντης του καὶ τὸν εὕρει νὰ κάμῃ ἔτζι.

44 Ἀληθινὰ σας λέγω, ὅτι θέλει τὸν καταστήσει εἰς ὅλα του τὰ ὑπάρχοντα.

45 Ἀμὴ ἂν εἴπῃ ὁ δοῦλος ἐκεῖνος μέσα εἰς τὸν λογισμόν του· Ὁ αὐθέντης μου ἀργεῖ νὰ ἔλθῃ· καὶ ἀρχίσῃ νὰ δέρνῃ τοὺς δουλευτάδες καὶ ταῖς δουλεύτραις, νὰ τρώγῃ, νὰ πίνῃ, καὶ νὰ μεθᾷ.

46 Θέλει ἔλθῃ ὁ αὐθέντης τοῦ δούλου ἐκείνου μίαν ἡμέραν ὁποὺ δὲν ἀπαντεχαίνει, καὶ εἰς ὥραν ὁποὺ δὲν γνωρίζει· καὶ θέλει τὸν χωρίσει, καὶ τὸ μέρος του θέλει τὸ βάλλει μὲ τοὺς ἀπίστους.

47 Καὶ ἐκεῖνος ὁ δοῦλος ὁποὺ γνωρίζει τὸ θέλημα τοῦ αὐθεντός του, καὶ δὲν ἑτοίμασε τοῦ λόγου του νὰ τὸ κάμῃ, θέλει δαρθῇ πολλαῖς (ξυλιαῖς·)

48 Ἀμὴ ἐκεῖνος ὁποὺ δὲν τὸ γνωρίζει, καὶ κάμνει πράγματα ὁποὺ εἶναι ἄξια νὰ δαρθῇ, θέλει δαρθῇ ὀλίγαις· καὶ καθ' ἕνος ὁποῦ του ἐδόθη πολὺ, θέλει ζητηθῇ καὶ πολὺ ἀπὸ λόγου του· καὶ ἐκεινοῦ ὁποῦ ἄφησαν πολὺ, θέλουσι τοῦ ζητήσει περισσότερον.

49 Φωτία ἤλθα νὰ βάλλω εἰς τὴν γῆν, καὶ τί θέλω, ἐπειδὴ ὡραμάν ἄναψε τῶρα·

50 Βαπτισμα δὲ ἔχω βαπτισθῆναι, καὶ πῶς συνέχομαι ἕως οὗ τελεσθῇ;

51 Δοκεῖτε ὅτι εἰρήνην παρεγενόμην δοῦναι ἐν τῇ γῇ; οὐχί, λέγω ὑμῖν, ἀλλ' ἢ διαμερισμόν·

52 Ἔσονται γὰρ ἀπὸ τοῦ νῦν πέντε ἐν οἴκῳ ἐν διαμεμερισμένοι, τρεῖς ἐπὶ δυσὶ, καὶ δύο ἐπὶ τρισί.

53 Διαμερισθήσεται πατὴρ ἐφ' υἱῷ, καὶ υἱὸς ἐπὶ πατρί· μήτηρ ἐπὶ θυγατρὶ, καὶ θυγάτηρ ἐπὶ μητρί· πενθερὰ ἐπὶ τὴν νύμφην αὐτῆς, καὶ νύμφη ἐπὶ τὴν πενθερὰν αὐτῆς.

54 Ἔλεγε δὲ καὶ τοῖς ὄχλοις· Ὅταν ἴδητε τὴν νεφέλην ἀνατέλλουσαν ἀπὸ δυσμῶν, εὐθέως λέγετε· Ὄμβρος ἔρχεται· καὶ γίνεται οὕτω.

55 Καὶ ὅταν νότον πνέοντα, λέγετε· Ὅτι καύσων ἔσται· καὶ γίνεται.

56 Ὑποκριταὶ, τὸ πρόσωπον τῆς γῆς καὶ τοῦ οὐρανοῦ οἴδατε δοκιμάζειν· τὸν δὲ καιρὸν τοῦτον πῶς οὐ δοκιμάζετε;

57 Τί δὲ καὶ ἀφ' ἑαυτῶν οὐ κρίνετε τὸ δίκαιον;

58 Ὡς γὰρ ὑπάγεις μετὰ τοῦ ἀντιδίκου σου ἐπ' ἄρχοντα,

50 Καὶ ἔχω βαπτισμα νὰ βαπτισθῶ, καὶ πῶς στενοχωρεμαι ἕως οὗ νὰ τελειωθῇ;

51 Λογιάζετε ὅτι ἦλθα νὰ δώσω εἰρήνην εἰς τὴν γῆν; ὄχι, σᾶς λέγω, ἀλλὰ χωρισμόν·

52 Διατὶ ἀπὸ τῶρα καὶ ὁμπροσὰ θέλουν εἶσθαι πέντε εἰς ἕνα σπῆτι χωρισμενοι· οἱ τρεῖς θέλουν φιλονεικεῖ μὲ τοὺς δύο, καὶ οἱ δύο μὲ τοὺς τρεῖς.

53 Ὁ πατὴρ θέλει χωρισθῇ ἀπὸ τὸν υἱὸν, καὶ ὁ υἱὸς ἀπὸ τὸν πατέρα· ἡ μάνα θέλει χωρίσει ἀπὸ τὴν θυγατέρα, καὶ ἡ θυγατέρα ἀπὸ τὴν μητέρα· ἡ πενθερὰ ἀπὸ τὴν νυμφὴν, καὶ ἡ νύμφη ἀπὸ τὴν πενθερὰν τῆς.

54 Καὶ ἔλεγεν εἰς τοὺς ὄχλους· Ὅταν εἰδῆτε τὴν νεφέλην ὁπου ἀνατέλλει ἀπὸ τὴν δυσιν, παρευθὺς λέγετε· Ὅτι ἔρχεται βροχὴ· καὶ ἔτζι γίνεται.

55 Καὶ ὅταν εἰδῆτε ὁπου φυσᾷ ὁ νότος, λέγετε· Ὅτι καῦμα θέλει γενεῖ· καὶ ἔτζι γίνεται.

56 Ὑποκριταὶ, τὸ πρόσωπον τῆς γῆς καὶ τοῦ οὐρανοῦ ἐξεύρετε νὰ δοκιμάζετε· καὶ τὸν καιρὸν ἐτοῦτον πῶς δὲν τὸν δοκιμάζετε;

57 Καὶ διατὶ ἀπὸ λόγου σας δὲν κρίνετε τὸ δίκαιον;

58 Διατὶ ὅταν ὑπαγένῃς μὲ τὸν ἀντίδικόν σου εἰς τὸν

ἐν τῇ ὁδῷ δὸς ἐργασίαν ἀπηλλάχθαι ἀπ' αὐτοῦ· μήποτε κατασύρῃ σε πρὸς τὸν κριτήν, καὶ ὁ κριτὴς σε παραδῷ τῷ πράκτορι, καὶ ὁ πράκτωρ σε βάλλῃ εἰς φυλακήν.

59 Λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν ἕως ὑ καὶ τὸ ἔσχατον λεπτὸν ἀποδῷς.

ἄρχοντα, εἰς τὴν γράτα κάμε κάθε λογῆς τρόπον να γλιτώσῃς ἀπ' ἐκεῖνον· μήπως καὶ σὲ ὑπάγῃ εἰς τὸν κριτὴν, καὶ ὁ κριτὴς σε παραδώσῃ εἰς τὰ χέρια ἐκείνου ὁπού ζητᾷ τὰ δικαιώματα, καὶ ἐκεῖνος σε βάλλῃ εἰς τὴν φυλακήν.

59 Λέγω σου, πὼς δὲν θέλεις εὔγει ἀπ' ἐκεῖ, ἕως οὐ να πληρώσῃς τὸ χρέος σου ὅλον, ἕως μίαν φόλλαν.

Κεφ. ιγ'. 13.

ΠΑρῆσαν δέ τινες ἐν αὐτῷ τῷ καιρῷ ἀπαγγέλλοντες αὐτῷ περὶ τῶν Γαλιλαίων, ὧν τὸ αἷμα Πιλάτος ἐμιξε μετὰ τῶν θυσιῶν αὐτῶν.

2 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς. Δοκεῖτε ὅτι οἱ Γαλιλαῖοι οὗτοι ἁμαρτωλοὶ παρὰ πάντας τοὺς Γαλιλαίους ἐγένοντο, ὅτι τοιαῦτα πεπόνθασιν;

3 Οὐχί, λέγω ὑμῖν· ἀλλ' ἐὰν μὴ μετανοῆτε, πάντες ὡσαύτως ἀπολεῖσθε.

4 Ἢ ἐκεῖνοι οἱ δέκα καὶ ὀκτὼ, ἐφ' οὓς ἔπεσεν ὁ πύργος ἐν τῷ Σιλωὰμ, καὶ ἀπέκτεινεν αὐτοὺς, δοκεῖτε ὅτι αὐτοὶ ὀφειλέται ἐγένοντο παρὰ πάντας ἀνθρώπους τοὺς

ΚΑΙ εἰς ἐκεῖνον τὸν καιρὸν ἦταν παρὼν καὶ κάποιοι, οἱ ὁποῖοι ἐλεγαν εἰς τὸν Ἰησοῦν διὰ τοὺς Γαλιλαίους, τῶν ὁποίων Γαλιλαίων τὸ αἷμα ὁ Πιλάτος τὸ ἀνακάτωσε μὲ ταῖς θυσίαις των.

2 Καὶ ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν τους· Λογιάζετε ὅτι ἐτοῦτοι οἱ Γαλιλαῖοι νὰ ἐγεννήκαν ἁμαρτωλώτεροι ἀπὸ ὅλους τοὺς Γαλιλαίους, διατὶ ἐπάθασιν τέτοιας λογῆς;

3 Ὄχι, σᾶς λέγω· ἀλλὰ καὶ ἐσεῖς ἂν δὲν μετανοήσετε, ὅλοι ἔτζι θέλετε ἀφανισθῆ.

4 Ἢ ἐκεῖνοι οἱ δέκα καὶ ὀκτὼ, εἰς τοὺς ὁποίους ἔπεσεν ὁ πύργος εἰς τὸ Σιλωὰμ, καὶ τοὺς ἐσκότωσε, λογιάζετε ὅτι ἐκεῖνοι ἐγίνηκαν ἁμαρτωλώτεροι παρὰ ὅλους τοὺς ἀνθρώπους ὁποῦ

κατοικουντας εν Ιερουσαλημ;

5 Ουχι, λεγω υμιν· αλλ εαν μη μετανοητε, παντες ομοιως απολεισθε.

6 Ελεγε δε ταυτην την παραβολην· Συκην ειχε τις εν τω αμπελωνι αυτου πεφυτευμενην· και ηλθε καρπον ζητων εν αυτη, και ουχ ευρεν.

7 Ειπε δε προς τον αμπελουργον· Ιδου, τρια ετη ερχομαι ζητων καρπον εν τη συκη ταυτη, και ουχ ευρισκω· εκκοψον αυτην· ινατι και την γην καταργει;

8 Ο δε αποκριθεις λεγει αυτω· Κυριε, αφες αυτην και τουτο το ετος, εως ου σκαψω περι αυτην, και βαλω κοπριαν·

9 Καν μεν ποιηση καρπον· ει δε μηγε, εις το μελλον εκκοψεις αυτην.

10 Ην δε διδασκων εν μια των συναγωγων εν τοις σαββασι.

11 Και ιδου, γυνη ην πνευμα εχουσα ασθενειας ετη δεκα και οκτω· και ην συγκυπτουσα, και μη δυναμενη ανακυψαι εις το παντελες.

12 Ιδων δε αυτην ο Ιησους, προσεφωνησι, και ειπεν αυτη· Γυναι, απολελυσαι της ασθενειας σου.

13 Και επεθηκεν αυτη τας

κάθωνται μέσα εις την Ιερουσαλημ;

5 Οχι, σας λέγω· άλλα εάν δεν μετανοησετε, όλοι τέτοιας λογης θέλετε άφανισθη.

6 Και έλεγεν ετούτην την παραβολην· Κάποιος άνθρωπος είχε μιαν συκιάν εις το αμπέλι του φυτεμένην· και έπηγεν εις εκείνην να γυρευη καρπον, και δεν εύρηκε.

7 Και είπε του αμπελουργού· Να, τρεις χρόνες έχω τωρα όπου έρχομαι και γυρευω καρπον εις την συκιάν ετούτην, και δεν εύρισκω· κόψε την· διατί εμποδίζει και την γην;

8 Και ο αμπελουργος αποκρίθη και λέγει του· Αυθέντη, άφησε την ακόμι και τετον τον χρόνον, εως όπου νά σκάψω τριγυρω, να βαλλω κοπρίαν·

9 Και άν καμη καρπον καλά· ει δε μη, του χρόνου θέλεις την κόψει.

10 Και εδίδασκεν εις εναν συναγωγι τα σάββατα.

11 Και εκεί ήτον και μια γυναίκα η οποία είχε πνευμα ασθενείας δεκαοκτω χρόνες· και έκαμπουργιασε, και δεν ημπόρει καθόλου νά ισάση του λόγου της.

12 Και ωσαν την είδεν ο Ιησους, της ελάλησε, και της είπεν· Ω γυναι, ελευθερωσου απο την ασθένειάν σου.

13 Και εβαλλε τα χεριά του

χεῖρας· καὶ παραχρῆμα ἀνωρθώθη, καὶ ἐδόξαζε τὸν Θεόν.

14 Ἀποκριθεὶς δὲ ὁ ἀρχισυνάγωγος, ἀγανακτῶν ὅτι τῷ σαββάτῳ ἐθεράπευσεν ὁ Ἰησοῦς, ἔλεγε τῷ ὄχλῳ· Ἓξ ἡμέραι εἰσὶν ἐν αἷς δεῖ ἐργάζεσθαι· ἐν ταύταις οὖν ἐρχόμενοι θεραπεύεσθε, καὶ μὴ τῇ ἡμέρᾳ τοῦ σαββάτου.

15 Ἀπεκρίθη οὖν αὐτῷ ὁ Κύριος, καὶ εἶπεν· Ὑποκριτά, ἕκαστος ὑμῶν τῷ σαββάτῳ οὐ λύει τὸν βοῦν αὐτοῦ ἢ τὸν ὄνον ἀπὸ τῆς φάτνης, καὶ ἀπαγαγὼν ποτίζει;

16 Ταύτην δὲ, θυγατέρα Ἀβραὰμ οὖσαν, ἣν ἔδησεν ὁ Σατανᾶς ἰδοὺ δέκα καὶ ὀκτὼ ἔτη, οὐκ ἔδει λυθῆναι ἀπὸ τοῦ δεσμοῦ τούτου τῇ ἡμέρᾳ τοῦ σαββάτου,

17 Καὶ ταῦτα λέγοντος αὐτοῦ, κατῃσχύνοντο πάντες οἱ ἀντικείμενοι αὐτῷ· καὶ πᾶς ὁ ὄχλος ἐχαίρειν ἐπὶ πᾶσι τοῖς ἐνδόξοις τοῖς γινομένοις ὑπ' αὐτοῦ.

18 Ἔλεγε δὲ· Τίνι ὁμοία ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ; καὶ τίνι ὁμοιώσω αὐτήν;

19 Ὁμοία ἐστὶ κόκκῳ σινάπεως, ὃν λαβὼν ἄνθρωπος ἔβαλεν εἰς κῆπον ἑαυτοῦ· καὶ ηὔξησε, καὶ ἐγένετο εἰς δένδρον

απαιωτης· καὶ παρευθυς ἰσαθη, καὶ εὐχαριστησε τον Θεόν.

14 Καὶ ἀπεκρίθη ὁ ἀρχισυναγωγος, ἀδημονῶντας διατι τὸ σαββατον ἰατρευσιν ὁ Ἰησοῦς, καὶ ἔλεγεν εἰς τὸν ὄχλον· Ἓξ ἡμέραις εἶναι ὁποῦ πρέπει νὰ δουλευωμεν οἱ ἄνθρωποι· εἰς τούτας λοιπὸν ταῖς ἡμεραις ἐρχεσθε νὰ ἰατρεύεσθε, καὶ ὄχι τὴν ἡμέραν του σαββατου.

15 Ὁ Κύριος λοιπὸν ἀπεκρίθη, καὶ εἶπεν τε· Ὑποκρῖται, καθένας ἀπὸ σας το σαββατον δὲν λύει το βόδι τε ἢ τὸν γάϊδαρόν τε ἀπὸ το παχνί τε, καὶ πάγει καὶ τὸ ποτίζει;

16 Καὶ ετουτη ὁποῦ εἶναι θυγατέρα τε Ἀβραὰμ, τὴν ὁποῖαν ἔδεσεν ὁ Σατανᾶς τωρα δεκαοκτω χρόνους, δὲν ἔπρεπε νὰ λυθῇ ἀπὸ το δέσιμον ετουτο τὴν ἡμέραν του σαββάτου;

17 Καὶ λέγωντας αὐτὸς ετουτα τα λόγια, ἐντροπιάζωνταν ὅλοι ἐκεῖνοι ὁποῦ εναντιοῦνταν· καὶ ὁλος ὁ ὄχλος ἐχάρηκεν εἰς ὅλα ἐκεῖνα τα ἔνδοξα ὁποῦ εγιναν ἀπ' αὐτόν.

18 Καὶ ἔλεγε· Μὲ τί ὁμοιάζει ἡ βασιλεία τε Θεοῦ; καὶ μὲ τί νὰ την ὁμοιάσω;

19 Ὁμοιάζει το κοκκι του συναπιου, το ὁποῖον το ἐπῆρεν ενας ἄνθρωπος, καὶ το ἔσπειρεν εἰς το περιβόλι του· καὶ αὔξησε, καὶ ἔγινεν ὡσὰν δένδρον μεγά-

μέγα, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει ἐν τοῖς κλάδοις αὐτοῦ.

20 Καὶ πάλιν εἶπε· Τίνι ὁμοιώσω τὴν βασιλείαν τοῦ Θεοῦ;

21 Ὁμοία ἐστὶ ζύμῃ, ἣν λαβοῦσα γυνὴ ἐνέκρυψεν εἰς ἀλεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη ὅλον.

22 Καὶ διεπορεύετο κατὰ πόλις καὶ κώμας διδάσκων, καὶ πορείαν ποιούμενος εἰς Ἱερουσαλήμ.

23 Εἶπε δέ τις αὐτῷ· Κύριε, εἰ ὀλίγοι οἱ σῳζόμενοι; Ὁ δὲ εἶπε πρὸς αὐτούς·

24 Ἀγωνίζεσθε εἰσελθεῖν διὰ τῆς στενῆς πύλης· ὅτι πολλοί, λέγω ὑμῖν, ζητήσουσιν εἰσελθεῖν, καὶ οὐκ ἰσχύσουσιν.

25 Ἀφ' οὗ ἂν ἐγερθῇ ὁ οἰκοδεσπότης, καὶ ἀποκλείσῃ τὴν θύραν, καὶ ἄρξησθε ἔξω ἑστάναι, καὶ κρούειν τὴν θύραν, λέγοντες· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν· καὶ ἀποκριθεὶς ἐρεῖ ὑμῖν· Οὐκ οἶδα ὑμᾶς, πόθεν ἐστέ.

26 Τότε ἄρξεσθε λέγειν· Ἐφάγομεν ἐνώπιόν σου, καὶ ἐπίομεν, καὶ ἐν ταῖς πλατείαις ἡμῶν ἐδίδαξας.

27 Καὶ ἐρεῖ· Λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ· ἀπόστητε

λον, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ ἐφώλιασαν εἰς τὰ κλαδία του.

20 Καὶ πάλιν εἶπε· Μὲ τί νὰ ὁμοιάσω τὴν βασιλείαν τοῦ Θεοῦ;

21 Ὁμοιάζει προζύμι, τὸ ὁποῖον μία γυναῖκα τὸ ἔκρυψε μέσα εἰς τρία κοιλα ἀλεύρι, ἕως ὁπου ἐζυμώθη ὅλον.

22 Καὶ ὁ Ἰησοῦς ἐπέρνα ἀπὸ μέσα ἀπὸ ταῖς χώραις καὶ ἀπὸ τὰ χωριὰ διδάσκοντας, καὶ πηγαίνοντας εἰς τὴν Ἱερουσαλήμ.

23 Καὶ κάποιος τὸν λέγει· Αὐθέντη, ἂν εἶναι ὀλίγοι ἐκεῖνοι ὁπού σώζονται; Καὶ ὁ Ἰησοῦς τοὺς εἶπεν·

24 Ἀγωνίζεσθε νὰ ἐμβῆτε ἀπὸ τὴν στενὴν τὴν θύραν· ὅτι πολλοί, σᾶς λέγω, θέλουν ζητήσει νὰ ἐμβοῦν, καὶ δὲν θέλουν ἠμπορέσει.

25 Ἀφοῦ σηκωθῇ ὁ οἰκοκύρης, καὶ σφαλίσῃ τὴν θύραν, καὶ ἀρχίσετε νὰ στέκεσθε ἔξω, καὶ νὰ κτυπᾶτε τὴν θύραν, νὰ λέγετε· Αὐθέντη, Αὐθέντη, ἄνοιξε μας· Καὶ ἐκεῖνος θέλει ἀποκριθῇ, νὰ σᾶς εἰπῇ· Δὲν σας ἐξεύρω, ἀπὸ πῦ εἶσθε.

26 Τότε θέλετε ἀρχίσει νὰ λέγετε· Ἐφάγαμεν, καὶ ἐπιάμεν ὑμπρός σου, καὶ εἰς τὰ πλατωματά μας ἐδίδαξες.

27 Καὶ ἐκεῖνος θέλει εἰπεῖ· Λέγω σας, δὲν σᾶς ἐξεύρω ἀπὸ

απ εμου παντες οι ἐργάται τῆς ἀδικίας.

28 Ἐκεῖ ἔσαι ὁ κλαυθμὸς και ὁ βρυγμος των ὀδοντων, ὅταν ὀψησθε Ἀβραὰμ και Ἰσαακ και Ἰακωβ, και πάντας τὺς προφητας ἐν τη βασιλεία τυ Θεῦ, ὑμᾶς δὲ ἐκβαλλομένης ἔξω.

29 Καὶ ἤξυσιν ἀπὸ ἀνατολων καὶ δυσμων, καὶ ἀπὸ βορρᾶ καὶ νότυ· καὶ ἀνακλιθήσονται ἐν τη βασιλεία τῦ Θεῦ.

30 Καὶ ἰδὺ, εἰσὶν ἐσχαῖοι οἱ ἔσονται πρωτοι, καί εἰσι πρωτοι οἱ ἔσονται ἔσχατοι.

31 Ἐν αὐτη τη ημερα προσηλθόν τινες φαρισαῖοι, λέγοντες αὐτῳ· Ἔξελθε, καὶ πορευυ ἐντεῦθεν· ὁτι Ηρῴδης θέλει σε ἀποκτεῖναι.

32 Καὶ εἶπεν αὐτοῖς· Πορευθέντες εἴπατε τη ἀλωπεκι ταύτη· Ἰδὺ, ἐκβάλλω δαιμόνια, καὶ ἰασεις ἐπιτελῶ σημερον καὶ αὐριον, καὶ τη τρίτη τιλειῦμαι.

33 Πλὴν δεῖ με σημερον καὶ αὔριον καὶ τη ἐχομένη πορεύεσθαι· ὅτι οὐκ ἐνδέχεται προφητην ἀπολεσθαι ἔξω Ἱερυσαλημ.

34 Ἱερυσαλημ, Ἱερυσαλημ, ἡ ἀποκτείνυσα τυς προφητας, καὶ λιθοβολυσα τυς ἀπεπεμμενυς σοι ποσακις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα συ, ὃν τρόπον ὄρνις τὴν ἑαυτῆς νοσσιὰν ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε;

35 Ἰδὺ, ἀφίεται ὑμῖν ὁ οἶκος ὑμων ἔρημος· λέγω δὲ ὑμῖν, ὅτι οὐ μὴ με ἴδητε ἕως ἥξῃ ὅτε εἴπητε· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίυ.

πε εισθε· παγενετε ἀπὸ μεια ὅλοι οι ἐργάται της ἀδικίας.

28 Ἐκεῖ θέλει εἶσθαι ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς των ὀδόντων, ὅταν εἰδῆτε τὸν Ἀβραὰμ καὶ τὸν Ἰσαακ καὶ τὸν Ἰακωβ, καὶ ὅλες τυς προφητας μεσα εἰς την βασιλείαν τυ Θεῦ, καὶ ἐσᾶς εὐγαλμενυς ἔξω.

29 Καὶ θέλυσιν ἔλθη ἀπὸ την ἀνατολην καὶ ἀπο την δύσιν, καὶ ἀπὸ τὸν βορρᾶν καὶ ἀπὸ τὸν νότον· καὶ θέλυν καθίσει εἰς την βασιλείαν τῦ Θεῦ.

30 Καὶ νὰ, κάποιοι ὑπᾶ εἶναι ὑςερινοὶ καὶ θέλυν γένει πρωτοι, καὶ οἱ πρῶτοι θέλυν γένει ὑςερινοι.

31 Ἐκείνην την ημεραν ἦλθαν εἰς τὸν Ἰησῦν κάποιοι φαρισαῖοι, καὶ τε εἶπαν· Εὔγα, καὶ πάγενε ἀπ ἐδω, ὅτι ὁ Ηρῴδης θέλει νὰ σὲ φονεύσῃ·

32 Καὶ εἶπεν τυς· Σύρτε καὶ εἰπέτε της ἀλεπῦς ἐτύτης· Νά, ὅπᾶ ἐυγάζω δαιμόνια, καὶ ἰατρεύω σημερον καὶ αὔριον, καὶ την τρίτην ἡμέραν τελειῶνομαι.

33 Ὅμως πρέπει σημερον καὶ αὔριον, καὶ την ἄλλην κάμνει χρεία νὰ πηγένω· ὁτι δεν ημπορεῖ νὰ χαλασθῃ προφητης ἔξω ἀπὸ την Ἱερυσαλημ.

34 Ὦ Ἱερυσαλημ, Ἱερυσαλημ, ὁπᾶ σκοτώνεις τυς προφητας, καὶ λιθοβολᾶς τυς ἀπε-

σταλμένους πρὸς αὐτὴν, ὡσάκις ἠθέλησα ἐπισυνάξαι τὰ τέκνα σου, ὃν τρόπον ὄρνις τὴν ἑαυτῆς νοσσιὰν ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε;

35 Ἰδοὺ, ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. ἀμὴν δὲ λέγω ὑμῖν, ὅτι οὐ μὴ με ἴδητε ἕως ἂν ἥξῃ ὅτε εἴπητε· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

γαλμένες εἰς ἐσένα, πόσαις φοραῖς ἠθέλησα νὰ μαζώξω τὰ παιδιά σου, καθὼς ἡ ὄρνιθα μαζώνει τα σπλιά της ἀπὸ κάτω εἰς ταῖς πτερύγαις της, καὶ δὲν ἠθελήσετε;

35 Να, τωρα ὁπου σᾶς ἀφίνεται το σπητί σας ἔρημον· καὶ λέγω σας, ὅτι δὲν θέλετε με εἰδῆ πλέον, ἕως ὁπου νὰ, ἐλθῆ καιρος, ὁπου νὰ εἰπῆτε· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Κιφ. ιδ'. 14.

ΚΑΙ ἐγένετο ἐν τῷ ἐλθεῖν αὐτὸν εἰς οἶκόν τινος τῶν ἀρχόντων τῶν Φαρισαίων σαββάτῳ φαγεῖν ἄρτον, καὶ αὐτοὶ ἦσαν παρατηρούμενοι αὐτόν.

2 Καὶ ἰδοὺ, ἄνθρωπός τις ἦν ὑδρωπικὸς ἔμπροσθεν αὐτοῦ.

3 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς τοὺς νομικοὺς καὶ Φαρισαίους, λέγων· Εἰ ἔξεστι τῷ σαββάτῳ θεραπεῦσαι;

4 Οἱ δὲ ἡσύχασαν. Καὶ ἐπιλαβόμενος ἰάσατο αὐτὸν, καὶ ἀπέλυσε.

5 Καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς, εἶπε· Τίνος ὑμῶν ὄνος ἢ βοῦς εἰς φρέαρ ἐμπεσεῖται, καὶ οὐκ εὐθέως ἀνασπάσει αὐτὸν ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου;

ΚΑΙ ὅταν ἐπῆγεν εἰς ἕνα σπητι κάποιου ἀπο των ἀρχόντων των Φαρισαίων τὸ σαββατον νὰ φάγῃ ψωμι, καὶ αὐτοὶ τὸν ἐπαραφύλαγαν.

2 Καὶ νά, καὶ ἕνας ἀνθρωπος ὑδρωπικὸς ἔμπροσθέ του.

3 Καὶ ἀποκριθη ὁ Ἰησοῦς, καὶ εἶπεν εἰς τοὺς νομικοὺς καὶ εἰς τοὺς Φαρισαίους, λεγωντας· Αν εἶναι ἐξουσία τὸ σάββατον νὰ ἰατρευη τινάς;

4 Καὶ ἐκεῖνοι ἡσύχασαν. Καὶ ὁ Ἰησοῦς πιάνωντας τον τὸν ἰατρευσε, καὶ τον ἀπόλυσεν.

5 Καὶ ἀπεκρίθη, καὶ εἶπέν τους· Ἀν ἤθελεν πεσῃ τινὸς γαϊδαρος ἢ βοδι εἰς πηγαδι, φαρευθὺς δὲν ἤθελε τὸ ἐνγάλει το σαββατον;

6 Καὶ οὐκ ἴσχυσαν ἀνταποκριθῆναι αὐτῷ ταῦτα.

7 Ἔλεγε δὲ πρὸς τοὺς κεκλημένους παραβολήν, ἐπεχων πως τας πρωτοκλισίας ἐξελέγοντο, λεγων πρὸς αὐτούς.

8 Ὅταν κληθῆς ὑπό τινος εἰς γάμους, μὴ κατακλιθῆς εἰς την πρωτοκλισίαν· μήποτε ἐντιμότερός σου ἦ κεκλημένος ὑπ αὐτου.

9 Καὶ ἐλθων ὁ σε καὶ αὐτὸν καλέσας, ἐρεῖ σοι· Δος τούτω τόπον· καὶ τότε ἄρξῃ μετ αἰσχυνης τον ἔσχατον τοπον κατέχειν.

10 Ἀλλ' ὅταν κληθῆς, πορευθεὶς ἀνάπεσον εἰς τὸν ἔσχατον τόπον· ἵνα ὅταν ἔλθῃ ὁ κεκληκώς σε, εἴπῃ σοι· Φίλε, προσαναβηθι ἀνωτερον· τότε ἔσαι σοι δόξα ἐνωπιον των συνανακειμένων σοι.

11 Ὅτι πας ὁ ὑψων ἑαυτὸν, ταπεινωθήσεται· καὶ ὁ ταπεινων ἑαυτὸν, ὑψωθήσεται.

12 Ἔλεγε δὲ καὶ τῷ κεκληκότι αὐτόν· Ὅταν ποιῆς ἄριστον ἢ δεῖπνον, μὴ φωνει τους φίλους σου, μηδὲ τους ἀδελφους σου, μηδὲ τους συγγενεῖς σου, μηδὲ

6 Καὶ δεν ἠμπόρεσαν νὰ τον ἀποκριθοῦν εἰς ἐτοῦτα.

7 Καὶ εἶπεν καὶ μίαν παραβολὴν εἰς τοὺς καλεσμένους, ἐπειδὴ ἔβλεπε πῶς ἐδιάλεγαν ταῖς πρωτοκαθεδρίαις, λεγωντάς τους·

8 Ὅταν καλεσθῆς ἀπὸ κανεναν εἰς τὸν γάμον, μὴν πᾳγης νὰ καθίσῃς εἰς τὸν πρωτον τόπον· μήπως καὶ εἶναι ἄλλος καλεσμένος τιμιώτερός σου·

9 Καὶ ἐλθῃ ἐκεῖνος ὁπου ἐκάλεσε καὶ ἐσενα καὶ ἐκεῖνον, καὶ θέλει εἰπεῖ· Δος ἐτοῦτα τόπον· καὶ τότε θελεις ἀρχίσει μὲ ἐντροπὴν νὰ κρατῇς τὸν παρακάτω τοπον.

10 Ἀμὴ ὅταν καλεσθῆς, σύρε κάθισε εἰς τὸν κατωτερον τόπον· καὶ ὅταν ἔλθῃ ἐκεῖνος ὁπου σε ἐκάλεσε, καὶ σὲ εἰπεῖ· Ὦ φίλε, ἀνέβα παρακάτω· τότε θέλει εἶσθαι τιμὴ σου ὀμπροσα εἰς ἐκείνους ὁπου κάθοινται μαζύ σου.

11 Ὅτι κάθε ἕνας ὁπου ὑψώνει τοῦ λόγου του, θέλει ταπεινωθῆ· καὶ ἐκεῖνος ὁπου ταπεινώνει του λόγου του, θέλει ὑψωθῆ.

12 Καὶ εἶπεν εἰς ἐκεῖνον ὁπου τον ἐκάλεσε· Ὅταν κάμνῃς γεῦμα ἢ δεῖπνον, μὴν καλεῖς τους φίλους σου, μηδὲ τους ἀδελφούς σου, μηδὲ την γειτάν σου,

γείτονας πλησίας· μήποτε καὶ αὐτοὶ σὲ ἀντικαλέσωσι, καὶ γένηταί σοι ἀνταπόδομα.

13 Ἀλλ' ὅταν ποιῇς δοχήν, κάλει πτωχούς, ἀναπήρους, χωλούς, τυφλούς·

14 Καὶ μακάριος ἔσῃ· ὅτι οὐκ ἔχουσιν ἀνταποδοῦναί σοι· ἀνταποδοθήσεται γάρ σοι ἐν τῇ ἀναστάσει τῶν δικαίων.

15 Ἀκούσας δέ τις τῶν συνανακειμένων ταῦτα, εἶπεν αὐτῷ· Μακάριος ὃς φάγεται ἄρτον ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ.

16 Ὁ δὲ εἶπεν αὐτῷ· Ἄνθρωπός τις ἐποίησε δεῖπνον μέγα, καὶ ἐκάλεσε πολλούς.

17 Καὶ ἀπέστειλε τὸν δοῦλον αὐτοῦ τὴν ὥρα τοῦ δείπνου εἰπεῖν τοῖς κεκλημένοις· Ἔρχεσθε, ὅτι ἤδη ἕτοιμά ἐστι πάντα.

18 Καὶ ἤρξαντο ἀπὸ μιᾶς παραιτεῖσθαι πάντες. Ὁ πρῶτος εἶπεν αὐτῷ· Ἀγρὸν ἠγόρασα, καὶ ἔχω ἀνάγκην ἐξελθεῖν, καὶ ἰδεῖν αὐτόν· ἐρωτῶ σε, ἔχε με παρῃτημένον.

19 Καὶ ἕτερος εἶπε· Ζεύγη βοῶν ἠγόρασα πέντε, καὶ πορεύομαι δοκιμάσαι αὐτά·

μηδὲ τοὺς γείτονας σου τοὺς πλησίους· μήπως καὶ αὐτοὶ σὲ ἀντικαλέσουν, καὶ σοῦ τὸ ἀνταποδώσουσιν.

13 Ἀμὴ ὅταν κάμῃς κάλεσμα, κάλεσε τοὺς πτωχούς, τοὺς βλαμμένους, τοὺς κυτζούς, τοὺς τυφλούς·

14 Καὶ θέλεις εἶσαι καλότυχος· διατὶ δὲν ἔχουν νὰ σὲ τὸ ἀνταποδώσουν· καὶ θέλει σὲ ἀνταποδοθῇ εἰς τὴν ἀνάστασιν τῶν δικαίων.

15 Καὶ ὡσὰν τὰ ἤκουσεν ἕνας ἀπ' ἐκείνους ὁπού ἐκάθετον μαζύ ἐτσὶ τὰ λόγια, τοῦ εἶπεν· Καλότυχος εἶναι ἐκεῖνος ὁπού φάγει ψωμὶ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

16 Καὶ ὁ Ἰησοῦς τοῦ εἶπεν· Ἕνας ἄνθρωπος ἐκαμε μεγάλον δεῖπνον, καὶ ἐκάλεσε πολλούς.

17 Καὶ εἰς τὴν ὥραν τοῦ δείπνου ἐστειλε τὸν δοῦλόν του νὰ εἰπῇ εἰς τοὺς καλεσμένους· Ἐλᾶτε, ὅτι τώρα εἶναι ὅλα ἕτοιμα.

18 Καὶ ἄρχισαν ὅλοι μὲ μίαν γνώμην νὰ παραιτῶνται. Καὶ ὁ πρῶτος τοῦ εἶπε· Χωράφι ἀγόρασα, καὶ ἔχω ἀνάγκην νὰ παγω νὰ τὸ ἰδῶ· παρακαλῶ σε, ἔχε με παραιτημένον.

19 Καὶ ἄλλος εἶπε· Πέντε ζευγάρια βόδια ἀγόρασα, καὶ ὑπάγω νὰ τὰ δοκιμάσω· καὶ

ἐρωτῶ σε, ἔχε με παρητημένον.

20 Καὶ ἕτερος εἶπε· Γυναῖκα ἔγημα, καὶ διὰ τοῦτο οὐ δύναμαι ἐλθεῖν.

21 Καὶ παραγενόμενος ὁ δοῦλος ἐκεῖνος ἀπήγγειλε τῷ κυρίῳ αὐτοῦ ταῦτα. Τότε ὀργισθεὶς ὁ οἰκοδεσπότης εἶπε τῷ δούλῳ αὐτοῦ· Ἔξελθε ταχέως εἰς τὰς πλατείας καὶ ῥύμας τῆς πόλεως, καὶ τοὺς πτωχοὺς καὶ ἀναπήρους καὶ χωλοὺς καὶ τυφλοὺς εἰσάγαγε ὧδε.

22 Καὶ εἶπεν ὁ δοῦλος· Κύριε, γέγονεν ὡς ἐπέταξας, καὶ ἔτι τόπος ἐστί.

23 Καὶ εἶπεν ὁ κύριος πρὸς τὸν δοῦλον· Ἔξελθε εἰς τὰς ὁδοὺς καὶ φραγμούς, καὶ ἀνάγκασον εἰσελθεῖν, ἵνα γεμισθῇ ὁ οἶκός μου.

24 Λέγω γὰρ ὑμῖν, ὅτι οὐδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων γεύσεταί μου τοῦ δείπνου.

25 Συνεπορεύοντο δὲ αὐτῷ ὄχλοι πολλοί· καὶ στραφεὶς εἶπε πρὸς αὐτούς·

26 Εἴ τις ἔρχεται πρός με, καὶ οὐ μισεῖ τὸν πατέρα ἑαυτοῦ καὶ τὴν μητέρα, καὶ τὴν γυναῖκα, καὶ τὰ τέκνα, καὶ τοὺς ἀδελφούς, καὶ τὰς ἀδελφάς, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχήν, οὐ δύναταί μου μαθητὴς εἶναι.

παρακαλῶ σε, ἔχε με παρητημένον.

20 Καὶ ἄλλος εἶπεν· Ἐγὼ ἐπανδρεύθηκα, καὶ διὰ τοῦτο οὐ δύναμαι ἐλθεῖν.

21 Καὶ ἐπιστρέψας ὁ δοῦλος ἐκεῖνος, καὶ εἶπεν τὰ αὐτὰ τῷ κυρίῳ αὐτοῦ. Τότε θυμωθεὶς ὁ οἰκοδεσπότης ἐκεῖνος, καὶ εἶπεν τοῦ δούλου του· Βγὰ ἔξω στὰ στενὰ καὶ στὰ πλατώματα τῆς πολιτείας καὶ φέρε μέσα τοὺς πτωχοὺς καὶ τοὺς ἀναπήρους καὶ τοὺς κουτσοὺς καὶ τοὺς τυφλοὺς ἐδῶ.

22 Καὶ εἶπεν ὁ δοῦλος· Αὐθέντη, ἔγινε καθὼς ὁρίσεις, καὶ ἀκόμι εἶναι τόπος ἀδειανός.

23 Καὶ λέγει ὁ αὐθέντης εἰς τὸν δοῦλόν του· Βγὰ ἔξω εἰς τοὺς δρόμους καὶ εἰς τοὺς φραγμούς, καὶ ἀνάγκασε τους νὰ ἔλθουν μέσα νὰ γεμίσῃ τὸ σπίτι μου.

24 Διατί λέγω σας, ὅτι μηδὲν κανένας ἀπὸ τοὺς ἄνδρας ἐκείνους τοὺς καλεσμένους θέλει γευματίσει τὸ δεῖπνόν μου.

25 Καὶ ὁλοι πολλοὶ ἐπηγαίνασιν μαζύ μὲ τὸν Χριστόν· καὶ ὁ Χριστὸς ἐγύρισε καὶ τοὺς εἶπεν·

26 Ἄνισως καὶ κανένας ἔρχεται εἰς ἐμένα, καὶ δὲν μισεῖ τὸν πατέρα του, καὶ τὴν μητέρα του, καὶ τὴν γυναῖκα του καὶ τὰ παιδιά του, καὶ τοὺς ἀδελφούς του καὶ ταὶς ἀδελφαῖς του, ἀκόμι καὶ τὴν ζωήν του, δὲν ἠμπορεῖ νὰ εἶναι μαθητής μου.

27 Και οστις ου βαστάζει τον σταυρον αυτου, και ερχεται οπισω μου, ου δυναται μου ειναι μαθητης.

28 Τις γαρ εξ υμων, θελων πυργον οικοδομησαι, ουχι πρωτον καθισας ψηφιζει την δαπανην, ει εχει τα προς απαρτισμον;

29 Ινα μηποτε θεντος αυτου θεμελιου, και μη ισχυοντος εκτελεσαι, παντες οι θεωρουντες αρξωνται εμπαιζειν αυτω,

30 Λεγοντες· Οτι ουτος ο ανθρωπος ηρξατο οικοδομειν, και ουκ ισχυσεν εκτελεσαι.

31 Η τις βασιλευς πορευομενος συμβαλειν ετερω βασιλει εις πολεμον, ουχι καθισας πρωτον βουλευεται ει δυνατος εστιν εν δεκα χιλιασιν απαντησαι τω μετα εικοσι χιλιαδων ερχομενω επ αυτον;

32 Ει δε μηγε, ετι αυτου πορρω οντος, πρεσβειαν αποστειλας, ερωτα τα προς ειρηνην.

33 Ουτως ουν, πας εξ υμων ος ουκ αποτασσεται πασι τοις εαυτου υπαρχουσι, ου δυναται μου ειναι μαθητης.

34 Καλον το αλας· εαν δε το αλας μωρανθη, εν τινι αρτυθησεται;

35 Ουτε εις γην, ουτε εις κοπριαν ευθετον εστιν· εξω

27 Και οποιος δεν βαστα τον σταυρον του, και να ερχεται καταπισω μου, δεν ημπορει να ειναι μαθητης μου.

28 Διατι ποιος απο εσας, θελοντας να κτισῃ ενα πυργον, δεν καθιζει πρωτον και λογαριαζει την εξοδαν, αν εχῃ να τον τελειωσῃ;

29 Μηπως και βαλει θεμελιον, και δεν ημπορεσει να τον τελειωσῃ, και αρχισουν ολοι οσοι τον βλεπουν να τον περιπαιζουν,

30 Λεγοντες· Οτι τουτος ο ανθρωπος αρχισε να κτιζῃ, και δεν ημπορεσε να το τελειωσῃ.

31 Η ενας βασιλευς οπου παγει να κτυπηθη με αλλον βασιλεα εις πολεμον, δεν καθιζει πρωτον και συμβουλευεται, αν ημπορῃ με δεκα χιλιαδες να απαντησῃ εκεινον οπου ερχεται απανω του με εικοσι χιλιαδες;

32 Ει δεμη, και δεν ημπορεῖ, ακομι οντας εκεινος μακρα, στελλει παρακαλεσαδες, και παρακαλεῖ (να καμῃ) ειρηνην.

33 Ετζι λοιπον και καθε ενας απο σας, οπου δεν αποτασσεται ολα τα τα υπαρχοντα, δεν δυνεται να εἶναι μαθητης μου.

34 Καλον το αλας· αμη εαν το αλας γενῃ ανάλατον, με τι να αλατισθῃ;

35 Ουδε δια την γην, ουδε δια την κοπρίαν εἶναι καλον·

βαλλησιν αυτό. Ο εχων ώτα ακουειν, ακουετω.

ἀλλα το ριχνουσιν εξω. Οποιος εχει αὐτία νὰ ἀκούσῃ, ἂς ἀκούσῃ.

Κεφ. ιέ. 15.

ΗΣΑΝ δὲ ἐγγίζοντες αὐτῷ παντες οι τελωναι και οι ἁμαρτωλοι, ακουειν αὐτου.

2 Και διεγόγγυζον οἱ φαρισαῖοι και οἱ γραμματεῖς, λεγοντες· Ὅτι οὗτος ἁμαρτωλους προσδέχεται, και συνεσθίει αὐτοῖς.

3 Εἶπε δὲ πρὸς αὐτους την παραβολην ταυτην, λεγων·

4 Τις ἀνθρωπος ἐξ ὑμων ἔχων ἑκατον πρόβατα, και ἀπολεσας ἓν ἐξ αὐτων, οὐ καταλείπει τὰ ἐνενηκονταεννέα ἐν τῇ ἐρήμῳ, και πορεύεται ἐπι τὸ ἀπολωλος, ἑως εὑρῃ αὐτό;

5 Και εὑρων ἐπιτίθησιν ἐπι τους ὤμους ἑαυτου χαίρων·

6 Και ἐλθων εἰς τὸν οἶκον, συγκαλεῖ τους φίλους και τους γείτονας, λεγων αὐτοῖς· Συγχάρητε μοι, ὅτι εὗρον τὸ πρόβατόν μου το ἀπολωλος.

7 Λέγω ὑμῖν, ὅτι οὕτω χαρὰ ἐσται ἐν τῷ οὐρανῷ ἐπι ἑνι ἁμαρτωλῷ μετανοοῦντι, ἢ ἐπι ἐνενηκονταεννέα δικαιοις, οἵτινες οὐ χρείαν ἔχουσι μετανοίας.

8 Ἢ τίς γυνη, δραχμας ἐχουσα δέκα, ἐαν ἀπολέσῃ δραχμην μίαν, οχι απτει

ΚΑΙ ὅλοι οι τελωναι και ἁμαρτωλοι επάγειναν και εσκουναν, να του ακουσουν.

2 Καὶ οι φαρισαῖοι και οἱ γραμματεῖς εγόγγυζαν, και ἔλεγαν· Οτι ἐτοῦτος ἁμαρτωλους ἀνθρωπος δέχεται, και τρώγει μαζύ τους.

3 Και εἶπεν τους την παραβολὴν ετούτην, λέγοντας·

4 Ποιὸς ἀποτ εσᾶς να εἶχεν ἑκατὸν πρόβατα, καὶ νὰ ἠθέλε χάσῃ ενα ἀπ αὐτὰ, δεν ἀφίνει τὰ ἐννενηκοντα ἐννέα εἰς την ερημον, και πάγει εἰς τὸ χαμενον, ἑως οπου να τὸ εὕρῃ;

5 Και ὡσὰν τὸ εὕρει τὸ βάνει ἀπάνω εἰς τους ὤμους του και χαίρεται.

6 Και ὡσὰν ελθῃ εἰς τὸ σπητι του, κράζει τους φίλους και τους γειτόνους, και λέγει τους· Χαρεῖτε και εσεῖς μετ ἐμενα, οτι εὗρηκα το χαμενον μου πρόβατον.

7 Λεγω σας, οτι τετοιας λογης χαρὰ θέλει εἶσθαι εἰς τὸν ουρανὸν δια ἕνα ἁμαρτωλὸν οπου μετανοεῖ, παρα εἰς τους ἐννενηκοντα ἐννέα δικαιους, οἱ ὁποιοι δεν χρειάζονται μετάνοιαν.

8 Ἡ καμια γυναῖκα, οπου νὰ εχῃ δέκα δραχμάς, ἂν ἠθέλε χάσῃ μίαν δραχμην, δὲν

λιχνον, καὶ σαροῖ την οἰκιαν, καὶ ζητεῖ ἐπιμελῶς, ἑως ὅτε εὕρῃ;

9 Καὶ εὑροῦσα συγκαλεῖται τας φίλας καὶ τας γειτονας, λέγουσα· Συγχάρητέ μοι, ὅτι εὗρον την δραχμην ἣν ἀπωλεσα.

10 Οὕτω, λέγω ὑμῖν, χαρα γίνεται ἐνωπιον των ἀγγέλων του Θεοῦ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.

11 Εἶπε δέ· Ἄνθρωπός τις εἶχε δυο υἱούς.

12 Καὶ εἶπεν ὁ νεωτερος αὐτων τῳ πατρί· Πατερ, δος μοι τὸ ἐπιβαλλον μερος της οὐσίας. Καὶ διεῖλεν αὐτοῖς τὸν βίον.

13 Καὶ μετ᾽ ὀ πολλὰς ἡμερας συναγαγων ἅπαντα ὁ νεωτερος υἱος ἀπεδημησεν εἰς χωραν μακραν· καὶ ἐκεῖ διεσκόρπισε την οὐσίαν αὐτου, ζων ἀσώτως.

14 Δαπανησαντος δὲ αὐτου παντα, ἐγενετο λιμος ἰσχυρὸς κατὰ την χωραν ἐκείνην· καὶ αὐτος ἤρξατο ὑστερεῖσθαι.

15 Καὶ πορευθεὶς ἐκολληθη ἑνὶ των πολιτων της χωρας ἐκεινης· καὶ ἐπεμψεν αὐτὸν εἰς τους ἀγρους αὐτου βόσκειν χοίρους.

16 Καὶ ἐπεθύμει γεμίσαι την κοιλίαν αὐτου ἀπὸ των ἀκάπτει λυχνον, καὶ σαρωνει το πητι, καὶ γυρευει ἐπιμελως, εως ὁπου να την εὑρη;

9 Καὶ ωσαν την εὑρει, κραζει ταῖς φιλενάδες καὶ ταῖς γειτονισσαίς της, καὶ λεγει· Χαρητε καὶ ἐσεῖς μετ᾽ ἐμενα, ὅτι εὑρηκα την δραχμην ὁπου ἔχασα.

10 Τέτοιας λογῆς, σας λεγω, χαρα γίνεται ὁμπροσα εἰς τὲς ἀγγέλης του Θεοῦ σια ἕνα ἁμαρτωλὸν ὁπου μετανοεῖ.

11 Καὶ εἶπε· Κάποιος ἄνθρωπος εἶχε δυο υἱούς.

12 Καὶ εἶπεν ὁ μικρότερος απ᾽ αὐτους εἰς τὸν πατέρα του· Ὦ πάτερ, δός μου τὸ μεριτικὸν ὁπου με τυχαινει της κληρονομίας. Καὶ ἐχωρισεν τους τὸν βίον του.

13 Καὶ εἰς ὀλιγαις ἡμέραις ἐμάζωξεν ὁλα ὁ μικρότερος υἱος, καὶ ἐμίσευεν εἰς χωραν μακραν· καὶ ἐκεῖ ἐσκόρπισε τὰ πράγματά του, ζωντας ἀσωτως.

14 Καὶ ωτὰν τὰ ἐξοδίασεν αὐτος ολα, ἔγινε πεῖνα μεγάλη εἰς την χωραν ἐκείνην· καὶ αὐτος ἀρχισε νὰ γίνεται ἐνδεὴς.

15 Καὶ ἐπῆγε καὶ ἐκόλλησεν εἰς ἕνα ἀπὸ τους πολίτας της χωρας ἐκείνης· καὶ ἐπεμψε τον εἰς τα χωράφιά του, νὰ βόσκη της χοίρους.

16 Καὶ ἐπιθύμα νὰ γεμιση την κοιλιαν του ἀπὸ τὰ ξυλκει-

περατίων ὧν ποθιον αἱ χοῖροι· καὶ οὐδεὶς ἐδίδου αὐτῷ.

17 Εἰς ἑαυτὸν δὲ ἐλθών, εἶπε· Πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύουσιν ἄρτων, ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι;

18 Ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου, καὶ ἐρῶ αὐτῷ· Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν, καὶ ἐνώπιόν σου.

19 Καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου.

20 Καὶ ἀναστὰς ἦλθε πρὸς τὸν πατέρα ἑαυτοῦ. Ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχοντος, εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ, καὶ ἐσπλαγχνίσθη· καὶ δραμὼν ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ κατεφίλησεν αὐτόν.

21 Εἶπε δὲ αὐτῷ ὁ υἱός· Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου.

22 Εἶπε δὲ ὁ πατὴρ πρὸς τοὺς δούλους αὐτοῦ· Ἐξενέγκατε τὴν στολὴν τὴν πρώτην, καὶ ἐνδύσατε αὐτὸν, καὶ δότε δακτύλιον εἰς τὴν χεῖρα αὐτοῦ, καὶ ὑποδήματα εἰς τοὺς πόδας·

23 Καὶ ἐνέγκαντες τὸν μόσχον τὸν σιτευτὸν θύσατε· καὶ φαγόντες εὐφρανθῶμεν.

24 Ὅτι οὗτος ὁ υἱός μου νεκρὸς ἦν, καὶ ἀνέζησε· καὶ ἀπο-

ρατα ὁπῆ ἔτρωγαν οἱ χοῖροι καὶ κανεὶς δὲν τοῦ ἔδιδε.

17 Καὶ ὡσὰν ἦλθεν εἰς τὸν ἑαυτόν του, εἶπε· Πόσοι χειρώτοι τοῦ πατρός μου περισσεύουσι ψωμὶ, καὶ ἐγὼ χάνομαι ἀπὸ τὴν πεῖνα;

18 Ἂς σηκωθῶ καὶ ἂς πάγω εἰς τὸν πατέρα μου καὶ θέλω του εἰπεῖ· Ὦ πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν, καὶ ἐνώπιόν σου.

19 Καὶ δὲν εἶμαι ἄξιος νὰ καλεσθῶ υἱός σου· κάμε με καὶ ἐμένα ὡσὰν ἕνα ἀπὸ τοὺς χειρώτες σου.

20 Καὶ σηκωνόμενος ἦλθεν εἰς τὸν πατέρα του. Καὶ ἀκόμι ὢντας μακρὰ, τὸν εἶδεν ὁ πατήρ του, καὶ τὸν ἐσπλαγχνίσθη· καὶ ἔτρεξε καὶ ἔπεσεν εἰς τὸν λαιμόν του, καὶ τὸν κατεφίλησε.

21 Καὶ λέγει του ὁ υἱός· Ὦ πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ πλέον δὲν εἶμαι ἄξιος νὰ καλεσθῶ υἱός σου.

22 Καὶ ὁ πατὴρ εἶπεν εἰς τοὺς δουλευτάδες του· Εὐγάλετε τὴν φορεσίαν τὴν πρώτην, καὶ ἐνδύσετέ τον, καὶ δῦτε καὶ δακτυλίδιον εἰς τὸ χέρι του, καὶ ὑποδήματα εἰς τὰ ποδάρια του·

23 Καὶ φέρετε καὶ τὸ μοσχάρι τὸ θρεπτὸν καὶ σφάξετε· νὰ φᾶμε, νὰ χαρῶμεν·

24 Ὅτι ἴτετος ὁ υἱός μου πλοι νεκρὸς, καὶ ἀνέζησε· καὶ χα-

λως ἦν, καὶ εὑρέθη. Καὶ ἤρξαντο εὐφραίνεσθαι.

25 Ἦν δὲ ὁ υἱὸς αὐτοῦ ὁ πρεσβύτερος ἐν ἀγρῷ· καὶ ὡς ἐρχόμενος ἤγγισε τῇ οἰκίᾳ, ἤκουσε συμφωνίας καὶ χορῶν.

26 Καὶ προσκαλεσάμενος ἕνα τῶν παίδων ἐπυνθάνετο τί εἴη ταῦτα.

27 Ὁ δὲ εἶπεν αὐτῷ· Ὅτι ὁ ἀδελφός σου ἦκε· καὶ ἔθυσεν ὁ πατήρ σου τὸν μόσχον τὸν σιτιστόν, ὅτι ὑγιαίνοντα αὐτὸν ἀπέλαβεν.

28 Ὠργίσθη δέ, καὶ οὐκ ἤθελε εἰσελθεῖν. Ὁ οὖν πατὴρ αὐτοῦ ἐξελθὼν παρεκάλει αὐτόν.

29 Ὁ δὲ ἀποκριθεὶς εἶπε τῷ πατρί· Ἰδού, τοσαῦτα ἔτη δουλεύω σοι, καὶ οὐδέποτε ἐντολήν σου παρῆλθον, καὶ ἐμοὶ οὐδέποτε ἔδωκας ἔριφον, ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ·

30 Ὅτι δὲ ὁ υἱός σου οὗτος, ὁ καταφαγών σε τὸν βίον μετὰ πορνῶν, ἦλθεν, ἔθυσας αὐτῷ τὸν μόσχον τὸν σιτιστόν.

31 Ὁ δὲ εἶπεν αὐτῷ· Τέκνον, σὺ πάντοτε μετ' ἐμοῦ εἶ, καὶ πάντα τὰ ἐμὰ, σὰ ἐστι.

μενος, καὶ εὑρέθη. Καὶ ἄρχοντο νὰ εὐφραίνωνται.

25 Καὶ ὁ μεγαλίτερός του υἱὸς ἦτον εἰς τὸ χωράφι· καὶ καθὼς ἤρχετο καὶ ἐπλησίασεν εἰς τὸ σπῆτι, ἄκουσε τραγούδια καὶ χορές.

26 Καὶ ἐλάλησεν ἕνα ἀπὸ τοὺς δουλευτάδες του, καὶ ἐρώτησε τί θέλει νὰ εἶναι αὐτά.

27 Καὶ ἐκεῖνος του εἶπε· Ὅτι ὁ ἀδελφός σου ἦλθε· καὶ ὁ πατέρας σου ἐσφαξε τὸ μοσχάρι τὸ θρεπτὸν, διατὶ τὸν ἀπόλαυσε γερόν.

28 Καὶ ὠργίσθη, καὶ δὲν ἤθελε νὰ ἔμβη μέσα. Ὁ πατήρ του λοιπὸν εὐγενωντας ἔξω του ἐπαρακάλει.

29 Καὶ ἐκεῖνος ἀπεκρίθη καὶ εἶπεν τὸ πατρός του· Νά, τόσες χρόνες ὅπου σὲ δουλεύω, καὶ ὅδε ποτὲ δὲν ἐπαρήκησα τὴν ἐντολήν σου, καὶ ἐμένα καμίαν φορὰν δὲν μοῦ ἔδωκες ἕνα κατζίκι, νὰ εὐφρανθῶ καὶ ἐγὼ μὲ τοὺς φίλους μου·

30 Καὶ τώρα διατὶ ἦλθεν ὁ υἱός σου ἐτοῦτος, ὅπου ἐκατάφαγε τὸν βίον σου μὲ τὰς πορνάις, ἐσφαξες τὸ μοσχάρι τὸ θρεπτὸν διὰ τὴν ἀγάπην του.

31 Καὶ ἐκεῖνος του εἶπεν· Ὦ παιδί μου, ἐσὺ πάντοτε μετ' ἐμένα εἶσαι, καὶ ὅλα τὰ ἰδικά μου, ἰδικά σου εἶναι.

32 Εὐφρανθῆναι δὲ καὶ χαρῆναι ἔδει, ὅτι ὁ ἀδελφός σου οὗτος νεκρὸς ἦν, καὶ ἀνέζησε· καὶ ἀπολωλὼς ἦν, καὶ εὑρέθη.

32 Ἁμὴ ἔπρεπε νὰ χαρῶμεν καὶ νὰ εὐφρανθῶμεν, ὅτι ὁ ἀδελφός σου ἐτοῦτος ἦτον νεκρὸς, καὶ ἀνέζησε· καὶ χαμένος, καὶ εὑρέθη.

Κεφ. ις'. 16.

Ἔλεγε δὲ καὶ πρὸς τοὺς μαθητὰς αὐτοῦ· Ἄνθρωπός τις ἦν πλούσιος, ὃς εἶχεν οἰκονόμον· καὶ οὗτος διεβλήθη αὐτῷ ὡς διασκορπίζων τὰ ὑπάρχοντα αὐτοῦ.

2 Καὶ φωνήσας αὐτὸν, εἶπεν αὐτῷ· Τί τοῦτο ἀκούω περὶ σοῦ; ἀπόδος τὸν λόγον τῆς οἰκονομίας σου· οὐ γὰρ δυνήσῃ ἔτι οἰκονομεῖν.

3 Εἶπε δὲ ἐν ἑαυτῷ ὁ οἰκονόμος· Τί ποιήσω, ὅτι ὁ κύριός μου ἀφαιρεῖται τὴν οἰκονομίαν ἀπ' ἐμοῦ; σκάπτειν οὐκ ἰσχύω, ἐπαιτεῖν αἰσχύνομαι.

4 Ἔγνων τί ποιήσω, ἵνα ὅταν μετασταθῶ τῆς οἰκονομίας, δέξωνταί με εἰς τοὺς οἴκους αὐτῶν.

5 Καὶ προσκαλεσάμενος ἕνα ἕκαστον τῶν χρεωφειλετῶν τοῦ κυρίου ἑαυτοῦ, ἔλεγε τῷ πρώτῳ· Πόσον ὀφείλεις τῷ κυρίῳ μου;

35 Οὐχ ὑμεῖς λέγετε ὅτι ἔτι τετράμηνός ἐστι, καὶ ὁ θερισμὸς ἔρχεται; Ἰδοὺ, λέγω ὑμῖν, ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ θεάσασθε τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμὸν ἤδη.

36 Καὶ ὁ θερίζων, μισθὸν λαμβάνει, καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον· ἵνα καὶ ὁ σπείρων ὁμοῦ χαίρῃ, καὶ ὁ θερίζων.

37 Ἐν γὰρ τοῦτῳ ὁ λόγος ἐστὶν ὁ ἀληθινός, ὅτι ἄλλος ἐστὶν ὁ σπείρων, καὶ ἄλλος ὁ θερίζων.

38 Ἐγὼ ἀπέστειλα ὑμᾶς θερίζειν ὃ οὐχ ὑμεῖς κεκοπιάκατε· ἄλλοι κεκοπιάκασι, καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε.

39 Ἐκ δὲ τῆς πόλεως ἐκείνης πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν τῶν Σαμαρειτῶν, διὰ τὸν λόγον τῆς γυναικὸς, μαρτυρούσης· Ὅτι εἶπέ μοι πάντα ὅσα ἐποίησα.

Ἐγὼ ἔχω φαγεῖ νὰ φάγω, τὸ ὁποῖον ἐσεῖς δὲν τὸ ἠξεύρετε.

33 Ἔλεγαν λοιπὸν οἱ μαθηταί της μεταξύ των· Μήπως καὶ τοῦ ἔφερε κανεὶς νὰ φάγῃ;

34 Λέγει τους ὁ Ἰησοῦς· Ἐδικόν μου φαγὶ εἶναι, νὰ κάμω τὸ θέλημα ἐκείνου ὁποῦ μὲ ἔπεμψεν, καὶ νὰ τελειώσω τὴν δουλειάν του.

35 Δὲν λέγετε ἐσεῖς, ὅτι ἀκόμη τέσσαρες μῆνες εἶναι ἕως τὸ θερος; Νά, ὁποῦ σᾶς λέγω· σηκώσετε τὰ μάτια σας ἀπάνω, καὶ εἰδῆτε τὰ χωράφια, ὅτι εἶναι ἄσπρα ὡραμένα διὰ θερος.

36 Καὶ ἐκεῖνος ὁποῦ θερίζει, πέρνει πληρωμήν, καὶ μαζώνει καρπὸν εἰς ζωὴν αἰώνιον· διὰ νὰ χαίρεται μαζὺ ἐκεῖνος ὁποῦ σπείρει, καὶ ἐκεῖνος ὁποῦ θερίζει.

37 Διατὶ εἰς τοῦτο (τὸ πρᾶγμα) ἀληθινὸς εἶναι ὁ λόγος, ὅτι ἄλλος εἶναι ὁποῦ σπείρει, καὶ ἄλλος ὁποῦ θερίζει.

38 Ἐγὼ σᾶς ἔστειλα νὰ θερίζετε ἐκεῖνο, διὰ τὸ ὁποῖον δὲν ἐκοπιάσετε· ἄλλοι ἐκοπίασαν, καὶ ἐσεῖς ἠλθετε καὶ ἐμβήκετε εἰς τὸν κόπον τους.

39 Καὶ ἀπὸ τὴν πόλιν ἐκείνην πολλοὶ ἀπὸ τοὺς Σαμαρείτας ἐπίστευσαν εἰς αὐτὸν, διὰ τὸν λόγον τῆς γυναικός, ὁποῦ ἐμαρτύρησεν (λιγοσά·) Ὅτι εἶπέ μου ὅλα ὅσα ἔκαμα.

40 Ὡς οὖν ἦλθον πρὸς αὐτὸν οἱ Σαμαρεῖται, ἠρώτων αὐτὸν μεῖναι παρ' αὐτοῖς· καὶ ἔμεινεν ἐκεῖ δύο ἡμέρας.

41 Καὶ πολλῷ πλείους ἐπίστευσαν διὰ τὸν λόγον αὐτοῦ.

42 Τῇ τε γυναικὶ ἔλεγον· Ὅτι οὐκέτι διὰ τὴν σὴν λαλιὰν πιστεύομεν· αὐτοὶ γὰρ ἀκηκόαμεν, καὶ οἴδαμεν ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ σωτὴρ τοῦ κόσμου, ὁ Χριστός.

43 Μετὰ δὲ τὰς δύο ἡμέρας ἐξῆλθεν ἐκεῖθεν, καὶ ἀπῆλθεν εἰς τὴν Γαλιλαίαν.

44 Αὐτὸς γὰρ ὁ Ἰησοῦς ἐμαρτύρησεν, ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει.

45 Ὅτε οὖν ἦλθεν εἰς τὴν Γαλιλαίαν, ἐδέξαντο αὐτὸν οἱ Γαλιλαῖοι, πάντα ἑωρακότες ἃ ἐποίησεν ἐν Ἱεροσολύμοις ἐν τῇ ἑορτῇ· καὶ αὐτοὶ γὰρ ἦλθον εἰς τὴν ἑορτήν.

46 Ἦλθεν οὖν ὁ Ἰησοῦς πάλιν εἰς τὴν Κανᾶ τῆς Γαλιλαίας, ὅπου ἐποίησε τὸ ὕδωρ οἶνον. Καὶ ἦν τις βασιλικὸς, οὗ ὁ υἱὸς ἠσθένει ἐν Καπερναούμ.

47 Οὗτος ἀκούσας ὅτι Ἰησοῦς ἥκει ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν, ἀπῆλθε πρὸς αὐτὸν, καὶ ἠρώτα αὐτὸν, ἵνα κατα-

40 Ὡσὰν ἦλθαν λοιπὸν οἱ Σαμαρεῖται εἰς αὐτὸν, τὸν ἐπαρακάλεσαν νὰ ἀπομείνῃ εἰς αὐτούς· καὶ ἀπόμεινε δύο ἡμέρας.

41 Καὶ πολλὰ περισσότεροι ἐπίστευσαν διὰ τὰ λόγιά του.

42 Καὶ εἰς τὴν γυναῖκα ἔλεγαν· Ὅτι πλειὸν δὲν πιστεύομεν διὰ τὰ λόγια τὰ ἰδικά σου· διατὶ ἐμεῖς οἱ ἴδιοι ἀκούσαμεν καὶ ἴδαμεν, ὅτι ἐτοῦτος εἶναι ἀληθινὰ ὁ σωτὴρ τοῦ κόσμου, ὁ Χριστός.

43 Καὶ ὕστερον ἀπὸ δύο ἡμέραις βγῆκεν ἀπ' ἐκεῖ, καὶ ὑπῆγεν εἰς τὴν Γαλιλαίαν.

44 Διατὶ αὐτὸς ὁ Ἰησοῦς ἐμαρτύρησεν, ὅτι προφήτης εἰς τὴν πατρίδα του δὲν ἔχει τιμήν.

45 Ὅταν τὸ λοιπὸν ἦλθεν εἰς τὴν Γαλιλαίαν, τὸν ἐδέχθηκαν οἱ Γαλιλαῖοι, ὁπού εἶδαν ὅλα ὅσα ἔκαμεν εἰς τὰ Ἱεροσόλυμα εἰς τὴν ἑορτήν· διατὶ καὶ αὐτοὶ ὑπῆγαν εἰς τὴν ἑορτήν.

46 Ὁ Ἰησοῦς λοιπὸν ἦλθε πάλιν εἰς τὴν Κανᾶ τῆς Γαλιλαίας, ἐκεῖ ὁπού ἔκαμε τὸ νερὸ κρασί. Καὶ ἦτον κάποιος βασιλικὸς, τοῦ ὁποίου ὁ υἱὸς ἦτον ἀσθενὴς εἰς τὴν Καπερναούμ.

47 Ἐτοῦτος ἀκούσας πὼς ἔρχεται, ὅτι ἦλθε ὁ Ἰησοῦς ἀπὸ τὴν Ἰουδαίαν εἰς τὴν Γαλιλαίαν, ὑπῆγεν εἰς ἐκεῖνον, καὶ τὸν ἐπα-

ταβη και ἰάσηται αὐτὸ τὸν υἱόν· ἤμελλε γαρ ἀποθνησκειν.

48 Εἶπεν οὖν ὁ Ἰησοῦς πρὸς αὐτόν· Ἐὰν μη σημεια και τέρατα ἴδητι, οὐ μη πιστεύσητε.

49 Λέγει πρὸς αὐτὸν ὁ βασιλικός· Κύριε, κατάβηθι πρὶν ἀποθανεῖν τὸ παιδίον μου.

50 Λέγει αὐτῷ ὁ Ἰησοῦς· Πορεύου· ὁ υἱός σου ζῇ· Καὶ ἐπίστευσεν ὁ ἄνθρωπος τῷ λόγῳ ᾧ εἶπεν αὐτῷ Ἰησοῦς, καὶ ἐπορεύετο.

51 Ἤδη δὲ αὐτοῦ καταβαίνοντος, οἱ δοῦλοι αὐτοῦ ἀπήντησαν αὐτῷ, καὶ ἀπήγγειλαν, λέγοντες· Ὅτι ὁ παῖς σου ζῇ.

52 Ἐπύθετο οὖν παρ' αὐτῶν τὴν ὥραν ἐν ᾗ κομψότερον ἴσχυ· καὶ εἶπον αὐτῷ· Ὅτι χθὲς ὥραν ἑβδόμην ἀφῆκεν αὐτὸν ὁ πυρετός.

53 Ἔγνω οὖν ὁ πατὴρ ὅτι ἐν ἐκείνῃ τῇ ὥρᾳ, ἐν ᾗ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· Ὅτι ὁ υἱός σου ζῇ. καὶ ἐπίστευσεν αὐτὸς καὶ ἡ οἰκία αὐτοῦ ὅλη.

54 Τοῦτο πάλιν δεύτερον σημεῖον ἐποίησεν ὁ Ἰησοῦς, ἐλθὼν ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν.

ρακάλει, να κατεβῇ να ἰαθῇ τὸν υἱὸν του· διατὶ ἤμελλε να ἀποθάνῃ.

48 Εἶπε τοῦ λοιπὸν ὁ Ἰησοῦς. Ἐὰν δὲν ἴδητε σημεῖα καὶ τέρατα, δὲν θέλετε πιστεύσει.

49 Λέγει του ὁ βασιλικός· Αὐθέντη, κατέβα πρὸ του να ἀποθάνῃ τὸ παιδί μου.

50 Λέγει του ὁ Ἰησοῦς· Σύρε, καὶ ὁ υἱός σου ζῇ. Καὶ ὁ ἄνθρωπος ἐπίστευσε τὸν λόγον ὁποῦ τοῦ εἶπεν ὁ Ἰησοῦς· καὶ ἐπήγαινε.

51 Καὶ ἐκεῖ ὁπου ἐκατέβαινεν, τὸν ἀπάντησαν οἱ δουλευτάδες του, καὶ εἶπαν του· Ὅτι τὸ παιδί σου ζῇ.

52 Ἐρώτησε λοιπὸν αὐτοὺς τὴν ὥραν ἐκείνην εἰς τὴν ὁποίαν ἴγινε καλλίτερα· καὶ τὸ εἶπαν. Ὅτι ἐχθὲς τὴν ἑβδόμην ὥραν τὸν ἄφηκεν ἡ θέρμη.

53 Ἐγνώρισε λοιπὸν ὁ πατὴρ τοῦ παιδιοῦ, ὅτι ἐκείνην τὴν ὥραν ὁποῦ τοῦ εἶπεν ὁ Ἰησοῦς, Ὅτι ὁ υἱός σου ζῇ, ἐκείνην τὴν ὥραν τὸν ἄφηκεν ἡ θέρμη· καὶ ἐπίστευσεν αὐτὸς, καὶ ὅλον του τὸ σπῆτι.

54 Ἐτοῦτο πάλιν ἔκαμεν ὁ Ἰησοῦς δεύτερον σημεῖον, ἀφ' οὗ ἐλθεν ἀπὸ τὴν Ἰουδαίαν εἰς τὴν Γαλιλαίαν.

Κεφ. ε'. 5.

ΜΕΤΑ ταυτα ην εορτη των Ιουδαίων, και ανέβη ο Ιησους εις Ιεροσόλυμα.

2 Εστι δε εν τοις Ιεροσολύμοις επι τη προβατικη κολυμβήθρα, η επιλεγομενη Εβραϊστι Βηθεσδα, πεντε στοας εχουσα.

3 Εν ταυταις κατεκειτο πληθος πολυ των ασθενουντων, τυφλων, χωλων, ξηρων, εκδεχομενων την του ὑδατος κίνησιν.

4 Αγγελος γαρ κατα καιρον κατεβαινεν εν τη κολυμβήθρα, και ετάρασσε το ὑδωρ· ο ουν πρωτος εμβας μετα την ταραχην τε ὑδατος, ὑγιης εγίνετο ω δηποτε κατειχετο νοσηματι.

5 Ην δε τις ανθρωπος εκει τριακοντα οκτω ετη εχων εν τη ασθενεια.

6 Τουτον ιδων ο Ιησους κατακειμενον, και γνους ὁτι πολυν ηδη χρονον ειχε, λεγει αυτω· Θελεις ὑγιης γενεσθαι;

7 Απεκρίθη αὐτω ο ασθενων· Κυριε, ανθρωπον ουκ εχω, ἱνα, ὁταν ταραχθη το ὑδωρ, βαλλη με εις την κολυμβήθραν· εν ω δε ερχομαι εγω, αλλος προ εμου καταβαινει.

ΚΑΙ υστερον απο ταυτα ην εορτη των Ιουδαίων, και ο Ιησους ανεβη εις Ιεροσόλυμα.

2 Και εις τα Ιεροσόλυμα εις την προβατικην (αγοραν) ην κολυμβήθρα, η οποια ελεγετο Εβραϊκα Βηθεσδα, η οποια εἰχε πεντε καμαρας.

3 Μεσα εις αὐταις εκειτετο πολυ πληθος ασθενημενων, τυφλων, κωλων, ξηρων, οι οποιοι επαρτιρησαν την ανακατωσιν του ὑδατος.

4 Διατι ἄγγελος εις καποιον καιρον εκατεβαινεν εις την κολυμβήθραν, και ετάραττε το ὑδωρ· και ο πρωτος λοιπον οπου ηθελε εμβη υστερα απο την ταραχην τε ὑδατος, εγίνετο ολόγερος, απο ὁ, τι λογης ασθενειαν ηθελε κρατειται.

5 Και εκει ητον ενας ανθρωπος, ο οποιος εἰχε τριαντα οκτω χρονες ασθενημενος.

6 Ωσαν τον ειδεν ο Ιησους οπου εκειτετο, και γνωρίζοντας ὁτι εχει πολλες χρονες ασθενημενος, λεγει τε Θελεις να γενης καλα;

7 Και ο ασθενημένος του απεκρίθη· Αὐθεντη, ανθρωπον δεν εχω, οταν ταραχθη το ὑδωρ, να με βαλλη εις την κολυμβήθραν· και την ωραν οπου ερχομαι εγω, καταβαινει αλλος προτητερα απο μενα.

8 Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἔγειραι, ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει.

9 Καὶ εὐθέως ἐγένετο ὑγιὴς ὁ ἄνθρωπος· καὶ ἦρε τὸν κράββατον αὐτοῦ, καὶ περιεπάτει· ἦν δὲ σάββατον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ.

10 Ἔλεγον οὖν οἱ Ἰουδαῖοι τῷ τεθεραπευμένῳ· Σάββατόν ἐστι, οὐκ ἔξεστί σοι ἆραι τὸν κράββατον.

11 Ἀπεκρίθη αὐτοῖς· Ὁ ποιήσας με ὑγιῆ, ἐκεῖνός μοι εἶπεν· Ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει.

12 Ἠρώτησαν οὖν αὐτόν· Τίς ἐστιν ὁ ἄνθρωπος ὁ εἰπών σοι· Ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει;

13 Ὁ δὲ ἰαθεὶς οὐκ ᾔδει τίς ἐστιν· ὁ γὰρ Ἰησοῦς ἐξένευσεν ὄχλου ὄντος ἐν τῷ τόπῳ.

14 Μετὰ ταῦτα εὑρίσκει αὐτὸν ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ, καὶ εἶπεν αὐτῷ· Ἴδε, ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται.

15 Ἀπῆλθεν ὁ ἄνθρωπος, καὶ ἀνήγγειλε τοῖς Ἰουδαίοις, ὅτι Ἰησοῦς ἐστὶν ὁ ποιήσας αὐτὸν ὑγιῆ.

16 Καὶ διὰ τοῦτο ἐδίωκον τὸν Ἰησοῦν οἱ Ἰουδαῖοι, καὶ ἐζήτουν

8 Λέγει τῷ ὁ Ἰησοῦς· Σήκωσον, ἆρον τὸ κρεββάτι σου, καὶ περιπάτει.

9 Καὶ παρευθὺς ἔγινε γερρὸς ὁ ἄνθρωπος· καὶ ἐσήκωσε τὸ κρεββάτι του, καὶ ἐπεριπάτει· καὶ ἐκείνην τὴν ἡμέραν ἦτον σάββατον.

10 Ἔλεγαν λοιπὸν οἱ Ἰουδαῖοι εἰς τὸν ἰαθέντα· Σάββατον εἶναι, καὶ δὲν σὲ πρέπει νὰ σηκώσῃς τὸ κρεββάτι σου.

11 Ἀπεκρίθη τους· Ἐκεῖνος ὁπού με ἰάτρευσε, ἐκεῖνος μὲ εἶπε· Σήκωσε τὸ κρεββάτι σου, καὶ περιπάτει.

12 Ἐρώτησαν τὸν λοιπόν· Ποῖος εἶναι ὁ ἄνθρωπος ὁπού σὲ εἶπε· Σήκωσε τὸ κρεββάτι σου, καὶ περιπάτει;

13 Καὶ ἐκεῖνος ὁπού ἰατρεύθη δὲν ἤξευρε ποῖος εἶναι· διατὶ ὁ Ἰησοῦς μὲ τὸ νὰ εἶναι πλῆθος πολὺ εἰς τὸν τοπον ἐκεῖνον, ἐτράφηκεν ἔξω.

14 Καὶ ὕστερα τὸν εὗρεν ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν, καὶ εἶπον του· Νά, ὁπού ἐγινες ὁλόγερρος· πλέον νὰ μὴν ἁμαρτάνῃς, διὰ νὰ μὴν σὲ γένῃ τίποτες χειράτερον.

15 Ἐπῆγεν ὁ ἄνθρωπος, καὶ εἶπεν το εἰς τοὺς Ἰουδαίους, ὅτι ὁ Ἰησοῦς ἦτον ὁπού τὸν ἔκαμε γερρόν.

16 Καὶ διὰ τοῦτην τὴν αἰτίαν ἐκατάτρεχαν τὸν Ἰησοῦν οἱ Ἰουδαῖοι, καὶ ἐζητοῦσαν νὰ

αὐτὸν ἀποκτεῖναι, ὅτι ταῦτα ἐποίει ἐν σαββάτῳ.

17 Ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς· Ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι.

18 Διὰ τοῦτο οὖν μᾶλλον ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι, ὅτι οὐ μόνον ἔλυε τὸ σάββατον, ἀλλὰ καὶ πατέρα ἴδιον ἔλεγε τὸν Θεόν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ.

19 Ἀπεκρίνατο οὖν ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ δύναται ὁ υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδέν, ἐὰν μή τι βλέπῃ τὸν πατέρα ποιοῦντα· ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ.

20 Ὁ γὰρ πατὴρ φιλεῖ τὸν υἱόν, καὶ πάντα δείκνυσιν αὐτῷ ἃ αὐτὸς ποιεῖ· καὶ μείζονα τούτων δείξει αὐτῷ ἔργα, ἵνα ὑμεῖς θαυμάζητε.

21 Ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ.

22 Οὐδὲ γὰρ ὁ πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ·

23 Ἵνα πάντες τιμῶσι τὸν υἱὸν, καθὼς τιμῶσι τὸν πατέρα· ὁ μὴ τιμῶν τὸν υἱὸν, οὐ τιμᾷ τὸν πατέρα τὸν πέμψαντα αὐτόν.

τὸν σκοτῶσαι, ὅτι τὸ σάββατον ἔκαμνε τοῦτο.

17 Καὶ ὁ Ἰησοῦς τοὺς ἀπεκρίθη· Ὁ πατήρ μου ἐργάζεται ἕως τώρα, καὶ ἐργάζομαι καὶ ἐγώ.

18 Διὰ τοῦτο λοιπὸν περισσότερον τὸν ἐζητοῦσαν οἱ Ἰουδαῖοι νὰ τὸν σκοτώσουν, διατὶ ὄχι μόνον ἔλυε τὸ σάββατον, ἀλλὰ καὶ πατέρα ἴδιον ἔλεγε τὸν Θεόν, κάμνοντας τὸν λόγον του ἴσα μὲ τὸν Θεόν.

19 Ἀπεκρίθη λοιπὸν ὁ Ἰησοῦς, καὶ εἶπε τους· Βέβαια βέβαια σᾶς λέγω, δὲν δύναται ὁ υἱὸς νὰ κάμῃ τίποτες ἀπὸ λόγου του, ἂν δὲν βλέπῃ τὸν πατέρα νὰ τὸ κάμῃ· διατὶ ἐκεῖνα ὁποῦ κάμνει ἐκεῖνος, αὐτὰ (τὰ ἴδια) ὁμοίως κάμνει καὶ ὁ υἱός.

20 Διατὶ ὁ πατὴρ ἀγαπᾷ τὸν υἱόν, καὶ ὅλα τοῦ τὰ δείχνει ἐκεῖνα ὁποῦ κάμνει αὐτός· καὶ μεγαλείτερα ἀπὸ τοῦτα θέλει τοῦ δείξει, διὰ νὰ θαυμάζητε ἐσεῖς.

21 Διατὶ καθὼς ὁ πατὴρ ἀναστήνει τοὺς νεκροὺς καὶ τοὺς ζωοποιεῖ, ἔτζι καὶ ὁ υἱὸς ὁποὺς θέλει ζωοποιεῖ.

22 Διατὶ ὁ πατὴρ δὲν κρίνει κανένα, ἀλλὰ ὅλην τὴν κρίσιν τὴν ἔδωκε τὸν υἱόν.

23 Διὰ νὰ τιμήσουν ὅλοι τὸν υἱόν, καθὼς τιμήσουν τὸν πατέρα· ἐκεῖνος ὁποῦ δὲν τιμᾷ τὸν υἱόν, δὲν τιμᾷ τὸν πατέρα ὁποῦ τὸν ἐστειλε.

24 Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ τὸν λόγον μου ἀκούων, καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον· καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν.

25 Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστι, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ Θεοῦ· καὶ οἱ ἀκούσαντες ζήσονται.

26 Ὥσπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ.

27 Καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστί.

28 Μὴ θαυμάζετε τοῦτο· ὅτι ἔρχεται ὥρα ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ·

29 Καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς ἀνάστασιν ζωῆς· οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως.

30 Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν· καθὼς ἀκούω, κρίνω· καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστί· ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρός.

24 Βεβαία βέβαια σᾶς λέγω, ὅτι ἐκεῖνος ὁποὺ ἀκούει τὸν λόγον μου, καὶ πιστεύει εἰς ἐκεῖνον ὁποὺ μὲ ἐπεμψεν, ἔχει ζωὴν αἰώνιον· καὶ δὲν ἔρχεται εἰς τὴν κρίσιν, ἀλλὰ ἐμετέβη ἀπὸ τὸν θάνατον εἰς τὴν ζωήν.

25 Βέβαια βέβαια σᾶς λέγω, ὅτι ἔρχεται ὥρα, καὶ τώρα εἶναι, ὅταν οἱ νεκροὶ θέλουν ἀκούσει τῆς φωνῆς τοῦ υἱοῦ τοῦ Θεοῦ· καὶ ἐκεῖνοι ὁποὺ τὴν ἀκούσουν θέλουσι ζήσει.

26 Διατὶ καθὼς ὁ πατὴρ ἔχει ζωὴν εἰς τὸν λόγον του, ἔτζι ἔδωκε καὶ τοῦ υἱοῦ νὰ ἔχῃ ζωὴν εἰς τοῦτον του·

27 Καὶ ἔδωκέν του ἐξουσίαν καὶ νὰ κάμῃ κρίσιν, καὶ ὅτι εἶναι υἱὸς ἀνθρώπου.

28 Μὴν θαυμάζετε τοῦτο· ὅτι ἔρχεται ὥρα εἰς τὴν ὁποίαν ὅλοι ὁπού εἶναι εἰς τὰ μνήματα θέλουσιν ἀκούσει τὴν φωνήν του·

29 Καὶ θέλουσιν ἐβγεῖ ἔξω ἐκεῖνοι ὁποὺ ἔκαμαν τὰ ἀγαθὰ, εἰς τὴν ἀνάστασιν τῆς ζωῆς· καὶ ἐκεῖνοι ὁποὺ ἔκαμαν τὰ κακὰ, εἰς τὴν ἀνάστασιν τῆς καταχρίσεως.

30 Δὲν δύνομαι ἐγὼ νὰ κάμω ἀπὸ λόγου μου τίποτες· καθὼς ἀκούω, κρίνω· καὶ ἡ κρίσις μου εἶναι δικαία· διατὶ δὲν ζητῶ τὸ θέλημα τὸ ἐδικόν μου, ἀλλὰ τὸ θέλημα τοῦ πατρός μου ὁποὺ μὲ ἐπεμψεν.

31 Ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής.

32 Ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ, καὶ οἶδα ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία ἣν μαρτυρεῖ περὶ ἐμοῦ.

33 Ὑμεῖς ἀπεστάλκατε πρὸς Ἰωάννην, καὶ μεμαρτύρηκε τῇ ἀληθείᾳ.

34 Ἐγὼ δὲ οὐ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν λαμβάνω· ἀλλὰ ταῦτα λέγω ἵνα ὑμεῖς σωθῆτε.

35 Ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος καὶ φαίνων· ὑμεῖς δὲ ἠθελήσατε ἀγαλλιασθῆναι πρὸς ὥραν ἐν τῷ φωτὶ αὐτοῦ.

36 Ἐγὼ δὲ ἔχω τὴν μαρτυρίαν μείζω τοῦ Ἰωάννου· τὰ γὰρ ἔργα ἃ ἔδωκέ μοι ὁ πατὴρ ἵνα τελειώσω αὐτά, αὐτὰ τὰ ἔργα ἃ ἐγὼ ποιῶ, μαρτυρεῖ περὶ ἐμοῦ ὅτι ὁ πατήρ με ἀπέσταλκε.

37 Καὶ ὁ πέμψας με πατὴρ, αὐτὸς μεμαρτύρηκε περὶ ἐμοῦ· οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε πώποτε, οὔτε εἶδος αὐτοῦ ἑωράκατε.

38 Καὶ τὸν λόγον αὐτοῦ οὐκ ἔχετε μένοντα ἐν ὑμῖν· ὅτι ὃν ἀπέστειλεν ἐκεῖνος, τούτῳ ὑμεῖς οὐ πιστεύετε.

39 Ἐρευνᾶτε τὰς γραφάς, ὅτι ὑμεῖς δοκεῖτε ἐν αὐταῖς

31 Ἂν ἐγὼ μαρτυρῶ περὶ ἐμοῦ, ἡ μαρτυρία μου οὐ δύναται εἶναι ἀληθής.

32 Ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ, καὶ οἶδα ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία ἣν μαρτυρεῖ περὶ ἐμοῦ.

33 Ὑμεῖς ἐστείλατε πρὸς τὸν Ἰωάννην, καὶ ἐκεῖνος ἐμαρτύρησε τῇ ἀληθείᾳ.

34 Ἐγὼ δὲ οὐ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν λαμβάνω· ἀλλὰ ταῦτα λέγω ὑμῖν ἵνα σωθῆτε.

35 Ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος καὶ φαίνων· καὶ ὑμεῖς ἠθελήσατε πρὸς ὥραν νὰ χαρῆτε εἰς τὸ φῶς του.

36 Ἐγὼ δὲ ἔχω μαρτυρίαν μεγαλητέραν (ἀπὸ τὴν μαρτυρίαν) τοῦ Ἰωάννου· διότι τὰ ἔργα ὁποὺ μοῦ ἔδωκεν ὁ πατὴρ διὰ νὰ τελειώσω, αὐτὰ τὰ ἔργα ὁποὺ κάμνω ἐγὼ, μαρτυροῦν διὰ λόγου μου, ὅτι ὁ πατὴρ μὲ ἀπέστειλε.

37 Καὶ ὁ πατὴρ ὁποὺ μὲ ἔπεμψεν, αὐτὸς ἐμαρτύρησε διὰ λόγου του· οὔτε τὴν φωνὴν του ἀκούσατε ποτὲ, οὔτε τὸ εἶδός του εἴδατε.

38 Καὶ τὸν λόγον του δὲν τὸν ἔχετε ὁποὺ νὰ μένῃ εἰς ἰσᾶς· ὅτι δὲν πιστεύετε τοῦτον, τὸν ὁποῖον ἐκεῖνος σᾶς ἔστειλεν.

39 Ἐξετάζετε ταῖς γραφαῖς, ὅτι ἰσεῖς λογιάζετε νὰ

ζωὴν αἰώνιον ἔχειν· καὶ ἐκεῖναί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ.

40 Καὶ οὐ θέλετε ἐλθεῖν πρός με, ἵνα ζωὴν ἔχητε.

41 Δόξαν παρὰ ἀνθρώπων οὐ λαμβάνω·

42 ἀλλ' ἔγνωκα ὑμᾶς, ὅτι τὴν ἀγάπην τοῦ Θεοῦ οὐκ ἔχετε ἐν ἑαυτοῖς.

43 Ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐ λαμβάνετέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε.

44 Πῶς δύνασθε ὑμεῖς πιστεῦσαι, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες· καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητεῖτε;

45 Μὴ δοκεῖτε ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν πατέρα· ἔστιν ὁ κατηγορῶν ὑμῶν, Μωσῆς, εἰς ὃν ὑμεῖς ἠλπίκατε.

46 Εἰ γὰρ ἐπιστεύετε Μωσῆ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν.

47 Εἰ δὲ τοῖς ἐκείνου γράμμασιν οὐ πιστεύετε, πῶς τοῖς ἐμοῖς ῥήμασι πιστεύσετε;

ἔχετε εἰς αὐταῖς ζωὴν αἰώνιον· καὶ ἐκεῖναί εἰσιν αἱ γραφαὶ αἱ μαρτυροῦσαι περὶ ἐμοῦ.

40 Ἀμὴ ἐσεῖς δὲν θέλετε νὰ ἐλθητε εἰς ἐμένα, διὰ νὰ ἐχετε ζωήν.

41 Ἐγὼ δόξαν ἀπὸ ἀνθρώπους δὲν πέρνω·

42 ἀλλὰ σᾶς ἐγνώρισα, ὅτι τὴν ἀγάπην τοῦ Θεοῦ δὲν τὴν ἐχετε εἰς τοὺς λόγους σας.

43 Ἐγὼ ἦλθα εἰς τὸ ὄνομα τοῦ πατρός μου, καὶ δὲν μὲ δέχεσθε· ἐὰν ἐλθῃ ἄλλος εἰς τὸ ὄνομα τὸ ἰδικόν του, ἐκεῖνον θέλετε δεχθῆ.

44 Πῶς ἠμπορειτε ἐσεῖς νὰ πιστεύσετε, ὁποῦ πέρνετε δόξαν ἴσας ἀπὸ τοὺς ἄλλους; καὶ τὴν δόξαν ὁποῦ εἶναι ἀπὸ τὸν μόνον Θεὸν δὲν τὴν ζητεύετε.

45 Μὴν λογιάζετε, ὅτι ἐγὼ θέλω σᾶς κατηγορήσει εἰς τὸν πατέρα· εἶναι ὁ Μωϋσῆς ὁποῦ σᾶς κατηγορᾶ, εἰς τὸν ὁποῖον ἐσεῖς ἐλπίζετε.

46 Διατὶ ἂν ἐπιστεύετε εἰς τὸν Μωϋσῆν, ἠθέλετε πιστεύσει καὶ εἰς ἐμένα· διατὶ ἐκεῖνος διὰ λόγου μου ἔγραψε.

47 Καὶ ἀνίσως καὶ ἐκεῖνα τὰ γράμματα δὲν πιστεύετε, πῶς θέλετε πιστεύσει τὰ ἰδικά μου λόγια;

Κιφ. ϛ'. 6.

ΜΕΤΑ ταῦτα ἀπῆλθεν ὁ Ἰησοῦς πέραν τῆς θαλάσσης τῆς Γαλιλαίας τῆς Τιβεριάδος.

2 Καὶ ἠκολούθει αὐτῷ ὄχλος πολύς, ὅτι ἑώρων αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων.

3 Ἀνῆλθε δὲ εἰς τὸ ὄρος ὁ Ἰησοῦς, καὶ ἐκεῖ ἐκάθητο μετὰ τῶν μαθητῶν αὐτοῦ.

4 Ἦν δὲ ἐγγὺς τὸ πάσχα, ἡ ἑορτὴ τῶν Ἰουδαίων.

5 Ἐπάρας οὖν ὁ Ἰησοῦς τοὺς ὀφθαλμοὺς, καὶ θεασάμενος ὅτι πολὺς ὄχλος ἔρχεται πρὸς αὐτὸν, λέγει πρὸς τὸν Φίλιππον· Πόθεν ἀγοράσωμεν ἄρτους, ἵνα φάγωσιν οὗτοι;

6 (Τοῦτο δὲ ἔλεγε πειράζων αὐτόν· αὐτὸς γὰρ ἤδει τί ἔμελλε ποιεῖν.)

7 Ἀπεκρίθη αὐτῷ Φίλιππος· Διακοσίων δηναρίων ἄρτοι οὐκ ἀρκοῦσιν αὐτοῖς, ἵνα ἕκαστος αὐτῶν βραχύ τι λάβῃ.

8 Λέγει αὐτῷ εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ, Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου·

9 Ἔστι παιδάριον ἓν ὧδε ὃ ἔχει πέντε ἄρτους κριθίνους καὶ δύο ὀψάρια· ἀλλὰ ταῦτα τί ἐστιν εἰς τοσούτους;

10 Εἶπε δὲ ὁ Ἰησοῦς· Ποιήσατε τοὺς ἀνθρώπους ἀναπεσεῖν.

ΚΑΙ ὕστερον ἀπὸ τοῦτο ἐπῆγεν ὁ Ἰησοῦς πέρα ἀπὸ τὴν θάλασσαν τῆς Γαλιλαίας, τῆς Τιβεριάδος.

2 Καὶ τὸν ἀκολούθησεν ὄχλος πολύς, διατὶ ἐβλέπαν τὰ σημεῖα ὁποῦ ἔκαμνεν εἰς τοὺς ἀσθενημένους.

3 Καὶ ἀνέβη εἰς τὸ ὄρος ὁ Ἰησοῦς, καὶ ἐκεῖ ἐκάθετον μαζί μὲ τοὺς μαθητάδες του.

4 Καὶ ἦτον σημὰ τὸ πάσχα, ἡ ἑορτὴ τῶν Ἰουδαίων.

5 Ἐσήκωσε λοιπὸν ὁ Ἰησοῦς τὰ μάτιά του, καὶ ὕστερα εἶδεν ὅτι πολὺς λαὸς ἔρχεται εἰς αὐτόν, λέγει εἰς τὸν Φίλιππον· Ἀπὸ πουθενὰ ἀγοράσομεν ψωμία, διὰ νὰ φᾶσι αὐτοί;

6 Καὶ τοῦτο τὸ ἔλεγεν δοκιμάζοντάς τον· διατὶ αὐτὸς ἤξερε τί ἔμελλε νὰ κάμῃ.

7 Ἀπεκρίθη του ὁ Φίλιππος· Διακοσῶν δηναρίων ψωμία δὲν τοὺς φθάνει, νὰ πάρῃ κάθε ἕνας ἀπὸ κομμάτι.

8 Λέγει του εἷς ἀπὸ τοὺς μαθητάδες του, Ἀνδρέας ὁ ἀδελφὸς τοῦ Σίμωνος τοῦ Πέτρου·

9 Εἶναι ἐδῶ ἕνα παιδὶ ὁποῦ ἔχει πέντε ψωμία κριθαρένια καὶ δυὸ ψάρια· ἀλλὰ τί εἶναι αὐτὰ εἰς τόσους ἀνθρώπους;

10 Καὶ ὁ Ἰησοῦς εἶπε· Κάμετε τοὺς ἀνθρώπους νὰ καθί-

Ἦν δὲ χόρτος πολὺς ἐν τῷ τόπῳ. Ἀνέπεσον οὖν οἱ ἄνδρες τὸν ἀριθμὸν ὡσεὶ πεντακισχίλιοι.

11 Ἔλαβε δὲ τοὺς ἄρτους ὁ Ἰησοῦς, καὶ εὐχαριστήσας διέδωκε τοῖς μαθηταῖς, οἱ δὲ μαθηταὶ τοῖς ἀνακειμένοις· ὁμοίως καὶ ἐκ τῶν ὀψαρίων ὅσον ἤθελον.

12 Ὡς δὲ ἐνεπλήσθησαν, λέγει τοῖς μαθηταῖς αὐτοῦ· Συναγάγετε τὰ περισσεύσαντα κλάσματα, ἵνα μή τι ἀπόληται.

13 Συνήγαγον οὖν, καὶ ἐγέμισαν δώδεκα κοφίνους κλασμάτων ἐκ τῶν πέντε ἄρτων τῶν κριθίνων, ἃ ἐπερίσσευσε τοῖς βεβρωκόσιν.

14 Οἱ οὖν ἄνθρωποι ἰδόντες ὃ ἐποίησε σημεῖον ὁ Ἰησοῦς, ἔλεγον· Ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης ὁ ἐρχόμενος εἰς τὸν κόσμον.

15 Ἰησοῦς οὖν γνοὺς ὅτι μέλλουσιν ἔρχεσθαι, καὶ ἁρπάζειν αὐτὸν ἵνα ποιήσωσιν αὐτὸν βασιλέα, ἀνεχώρησε πάλιν εἰς τὸ ὄρος αὐτὸς μόνος.

16 Ὡς δὲ ὀψία ἐγένετο, κατέβησαν οἱ μαθηταὶ αὐτοῦ ἐπὶ τὴν θάλασσαν.

17 Καὶ ἐμβάντες εἰς τὸ πλοῖον, ἤρχοντο πέραν τῆς θαλάσσης εἰς Καπερναούμ. Καὶ σκοτία ἤδη ἐγεγόνει, καὶ οὐκ ἐληλύθει πρὸς αὐτοὺς ὁ Ἰησοῦς.

18 Ἡ τε θάλασσα ἀνέμου μεγάλου πνέοντος διηγείρετο.

19 Ἐληλακότες οὖν ὡς σταδίους εἰκοσιπέντε ἢ τριάκοντα, θεωροῦσι τὸν Ἰησοῦν περιπατοῦντα ἐπὶ τῆς θαλάσσης καὶ ἐγγὺς τοῦ πλοίου γινόμενον, καὶ ἐφοβήθησαν.

20 Ὁ δὲ λέγει αὐτοῖς· Ἐγώ εἰμι, μὴ φοβεῖσθε.

21 Ἤθελον οὖν λαβεῖν αὐτὸν εἰς τὸ πλοῖον, καὶ εὐθέως τὸ πλοῖον ἐγένετο ἐπὶ τῆς γῆς εἰς ἣν ὑπῆγον.

22 Τῇ ἐπαύριον ὁ ὄχλος ὁ ἑστηκὼς πέραν τῆς θαλάσσης εἶδεν ὅτι πλοιάριον ἄλλο οὐκ ἦν ἐκεῖ εἰ μὴ ἓν, καὶ ὅτι οὐ συνεισῆλθε τοῖς μαθηταῖς αὐτοῦ ὁ Ἰησοῦς εἰς τὸ πλοῖον, ἀλλὰ μόνοι οἱ μαθηταὶ αὐτοῦ ἀπῆλθον.

23 Ἄλλα ἦλθε πλοιάρια ἐκ Τιβεριάδος ἐγγὺς τοῦ τόπου ὅπου ἔφαγον τὸν ἄρτον εὐχαριστήσαντος τοῦ Κυρίου.

24 Ὅτε οὖν εἶδεν ὁ ὄχλος ὅτι Ἰησοῦς οὐκ ἔστιν ἐκεῖ οὐδὲ οἱ μαθηταὶ αὐτοῦ, ἐνέβησαν αὐτοὶ εἰς τὰ πλοιάρια, καὶ ἦλθον εἰς Καπερναούμ ζητοῦντες τὸν Ἰησοῦν.

25 Καὶ εὑρόντες αὐτὸν πέραν τῆς θαλάσσης εἶπον αὐτῷ· Ῥαββί, πότε ὧδε γέγονας;

26 Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς καὶ εἶπεν· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ζητεῖτέ με οὐχ ὅτι εἴδετε σημεῖα, ἀλλ' ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων καὶ ἐχορτάσθητε.

27 Ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν αἰώνιον, ἣν ὁ υἱὸς τοῦ ἀνθρώπου ὑμῖν δώσει· τοῦτον γὰρ ὁ Πατὴρ ἐσφράγισεν ὁ Θεός.

28 Εἶπον οὖν πρὸς αὐτόν· Τί ποιῶμεν ἵνα ἐργαζώμεθα τὰ ἔργα τοῦ Θεοῦ;

29 Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· Τοῦτό ἐστι τὸ ἔργον τοῦ Θεοῦ, ἵνα πιστεύητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος.

30 Εἶπον οὖν αὐτῷ· Τί οὖν ποιεῖς σὺ σημεῖον, ἵνα ἴδωμεν καὶ πιστεύσωμέν σοι; τί ἐργάζῃ;

31 Οἱ πατέρες ἡμῶν τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ, καθώς ἐστι γεγραμμένον· Ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν.

32 Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ Μωσῆς δέδωκε τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ, ἀλλ' ὁ Πατήρ μου δίδωσι τὸν ἄρτον τὸν ἀληθινὸν ἐκ τοῦ οὐρανοῦ.

33 Ὁ γὰρ ἄρτος τοῦ Θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ καὶ ζωὴν διδοὺς τῷ κόσμῳ.

34 Εἶπον οὖν πρὸς αὐτόν· Κύριε, πάντοτε δὸς ἡμῖν τὸν ἄρτον τοῦτον.

35 Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς· ὁ ἐρχόμενος πρός με οὐ μὴ πεινάσῃ, καὶ ὁ πιστεύων εἰς ἐμὲ οὐ μὴ διψήσῃ πώποτε.

36 Ἀλλ' εἶπον ὑμῖν ὅτι καὶ ἑωράκατέ με καὶ οὐ πιστεύετε.

37 Πᾶν ὃ δίδωσί μοι ὁ Πατὴρ πρός με ἥξει, καὶ τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω,

38 ὅτι καταβέβηκα ἀπὸ τοῦ οὐρανοῦ οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με.

39 Τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με Πατρός, ἵνα πᾶν ὃ δέδωκέ μοι μὴ ἀπολέσω ἐξ αὐτοῦ, ἀλλὰ ἀναστήσω αὐτὸ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.

40 Τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πατρός μου, ἵνα πᾶς ὁ θεωρῶν τὸν υἱὸν καὶ πιστεύων εἰς αὐτὸν ἔχῃ ζωὴν αἰώνιον, καὶ ἀναστήσω αὐτὸν ἐγὼ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.

41 Ἐγόγγυζον οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι εἶπεν· Ἐγώ εἰμι ὁ ἄρτος ὁ καταβὰς ἐκ τοῦ οὐρανοῦ.

42 Καὶ ἔλεγον· Οὐχ οὗτός ἐστιν Ἰησοῦς ὁ υἱὸς Ἰωσὴφ, οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα; πῶς οὖν λέγει οὗτος ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκα;

43 Ἀπεκρίθη οὖν ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· Μὴ γογγύζετε μετ' ἀλλήλων.

44 Οὐδεὶς δύναται ἐλθεῖν πρός με ἐὰν μὴ ὁ Πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτόν, κἀγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.

45 Ἔστι γεγραμμένον ἐν τοῖς προφήταις· Καὶ ἔσονται πάντες διδακτοὶ θεοῦ. Πᾶς ὁ ἀκούσας παρὰ τοῦ Πατρὸς καὶ μαθὼν ἔρχεται πρός με.

46 Οὐχ ὅτι τὸν Πατέρα ἑώρακέ τις, εἰ μὴ ὁ ὢν παρὰ τοῦ Θεοῦ, οὗτος ἑώρακε τὸν Πατέρα.

47 Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων ἔχει ζωὴν αἰώνιον.

48 Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς.

49 Οἱ πατέρες ὑμῶν τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ καὶ ἀπέθανον.

50 Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, ἵνα τις ἐξ αὐτοῦ φάγῃ καὶ μὴ ἀποθάνῃ.

51 Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα· καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω ἡ σάρξ μού ἐστιν ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς.

52 Ἐμάχοντο οὖν πρὸς ἀλλήλους οἱ Ἰουδαῖοι λέγοντες· Πῶς δύναται οὗτος ἡμῖν δοῦναι τὴν σάρκα αὐτοῦ φαγεῖν;

53 Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς.

54 Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἔχει ζωὴν αἰώνιον, καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.

55 Ἡ γὰρ σάρξ μου ἀληθής ἐστι βρῶσις, καὶ τὸ αἷμα μου ἀληθής ἐστι πόσις.

56 Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ.

57 Καθὼς ἀπέστειλέ με ὁ ζῶν Πατὴρ κἀγὼ ζῶ διὰ τὸν Πατέρα, καὶ ὁ τρώγων με κἀκεῖνος ζήσει δι' ἐμέ.

58 Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· οὐ καθὼς ἔφαγον οἱ πατέρες καὶ ἀπέθανον· ὁ τρώγων τοῦτον τὸν ἄρτον ζήσει εἰς τὸν αἰῶνα.

59 Ταῦτα εἶπεν ἐν συναγωγῇ διδάσκων ἐν Καπερναούμ.

60 Πολλοὶ οὖν ἀκούσαντες ἐκ τῶν μαθητῶν αὐτοῦ εἶπον· Σκληρός ἐστιν ὁ λόγος οὗτος· τίς δύναται αὐτοῦ ἀκούειν;

61 Εἰδὼς δὲ ὁ Ἰησοῦς ἐν ἑαυτῷ ὅτι γογγύζουσιν περὶ τούτου οἱ μαθηταὶ αὐτοῦ, εἶπεν αὐτοῖς· Τοῦτο ὑμᾶς σκανδαλίζει;

62 Ἐὰν οὖν θεωρῆτε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα ὅπου ἦν τὸ πρότερον;

63 Τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν, ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν· τὰ ῥήματα ἃ ἐγὼ λελάληκα ὑμῖν πνεῦμά ἐστι καὶ ζωή ἐστιν.

64 Ἀλλ' εἰσί τινες ὑμῶν οἱ οὐ πιστεύουσιν. Ἤδει γὰρ ἐξ ἀρχῆς ὁ Ἰησοῦς τίνες εἰσὶν οἱ μὴ πιστεύοντες καὶ τίς ἐστιν ὁ παραδώσων αὐτόν.

65 Καὶ ἔλεγε· Διὰ τοῦτο εἰρήκειν ὑμῖν ὅτι οὐδεὶς δύναται ἐλθεῖν πρός με ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ Πατρός μου.

66 Ἐκ τούτου πολλοὶ ἐκ τῶν μαθητῶν αὐτοῦ ἀπῆλθον εἰς τὰ ὀπίσω καὶ οὐκέτι μετ' αὐτοῦ περιεπάτουν.

67 Εἶπεν οὖν ὁ Ἰησοῦς τοῖς δώδεκα· Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν;

68 Ἀπεκρίθη οὖν αὐτῷ Σίμων Πέτρος· Κύριε, πρὸς τίνα ἀπελευσόμεθα; ῥήματα ζωῆς αἰωνίου ἔχεις·

69 καὶ ἡμεῖς πεπιστεύκαμεν καὶ ἐγνώκαμεν ὅτι σὺ εἶ ὁ ἅγιος τοῦ Θεοῦ.

70 Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Οὐκ ἐγὼ ὑμᾶς τοὺς δώδεκα ἐξελεξάμην; καὶ ἐξ ὑμῶν εἷς διάβολός ἐστιν.

71 Ἔλεγε δὲ τὸν Ἰούδαν Σίμωνος Ἰσκαριώτου· οὗτος γὰρ ἔμελλεν παραδιδόναι αὐτὸν εἷς ὢν ἐκ τῶν δώδεκα.

Κεφ. ζ'.

1 Καὶ περιεπάτει ὁ Ἰησοῦς μετὰ ταῦτα ἐν τῇ Γαλιλαίᾳ· οὐ γὰρ ἤθελεν ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν, ὅτι ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι.

2 Ἦν δὲ ἐγγὺς ἡ ἑορτὴ τῶν Ἰουδαίων ἡ σκηνοπηγία.

3 Εἶπον οὖν πρὸς αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ· Μετάβηθι ἐντεῦθεν καὶ ὕπαγε εἰς τὴν Ἰουδαίαν, ἵνα καὶ οἱ μαθηταί σου θεωρήσουσι τὰ ἔργα σου ἃ ποιεῖς·

4 οὐδεὶς γάρ τι ἐν κρυπτῷ ποιεῖ καὶ ζητεῖ αὐτὸς ἐν παρρησίᾳ εἶναι. Εἰ ταῦτα ποιεῖς, φανέρωσον σεαυτὸν τῷ κόσμῳ.

5 Οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν.

6 Λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ὁ καιρὸς ὁ ἐμὸς οὔπω πάρεστιν, ὁ δὲ καιρὸς ὁ ὑμέτερος πάντοτέ ἐστιν ἕτοιμος.

7 Οὐ δύναται ὁ κόσμος μισεῖν ὑμᾶς, ἐμὲ δὲ μισεῖ, ὅτι ἐγὼ μαρτυρῶ περὶ αὐτοῦ ὅτι τὰ ἔργα αὐτοῦ πονηρά ἐστιν.

8 Ὑμεῖς ἀνάβητε εἰς τὴν ἑορτήν· ἐγὼ οὐκ ἀναβαίνω εἰς τὴν ἑορτὴν ταύτην, ὅτι ὁ ἐμὸς καιρὸς οὔπω πεπλήρωται.

9 Ταῦτα δὲ εἰπὼν αὐτοῖς ἔμεινεν ἐν τῇ Γαλιλαίᾳ.

10 Ὡς δὲ ἀνέβησαν οἱ ἀδελφοὶ αὐτοῦ εἰς τὴν ἑορτήν, τότε καὶ αὐτὸς ἀνέβη εἰς τὴν ἑορτὴν οὐ φανερῶς ἀλλ' ὡς ἐν κρυπτῷ.

11 Οἱ οὖν Ἰουδαῖοι ἐζήτουν αὐτὸν ἐν τῇ ἑορτῇ καὶ ἔλεγον· Ποῦ ἐστιν ἐκεῖνος;

12 Καὶ γογγυσμὸς περὶ αὐτοῦ ἦν πολὺς ἐν τοῖς ὄχλοις· οἱ μὲν ἔλεγον ὅτι ἀγαθός ἐστιν, ἄλλοι δὲ ἔλεγον· Οὐχί, ἀλλὰ πλανᾷ τὸν ὄχλον.

13 Οὐδεὶς μέντοι παρρησίᾳ ἐλάλει περὶ αὐτοῦ διὰ τὸν φόβον τῶν Ἰουδαίων.

14 Ἤδη δὲ τῆς ἑορτῆς μεσούσης ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν καὶ ἐδίδασκε.

15 Καὶ ἐθαύμαζον οἱ Ἰουδαῖοι λέγοντες· Πῶς οὗτος γράμματα οἶδεν μὴ μεμαθηκώς;

16 Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς καὶ εἶπεν· Ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμὴ ἀλλὰ τοῦ πέμψαντός με.

17 Ἐάν τις θέλῃ τὸ θέλημα αὐτοῦ ποιεῖν, γνώσεται περὶ τῆς διδαχῆς πότερον ἐκ τοῦ Θεοῦ ἐστιν ἢ ἐγὼ ἀπ' ἐμαυτοῦ λαλῶ.

18 Ὁ ἀφ' ἑαυτοῦ λαλῶν τὴν δόξαν τὴν ἰδίαν ζητεῖ· ὁ δὲ ζητῶν τὴν δόξαν τοῦ πέμψαντος αὐτὸν οὗτος ἀληθής ἐστι καὶ ἀδικία ἐν αὐτῷ οὐκ ἔστιν.

19 Οὐ Μωσῆς δέδωκε τὸν νόμον; καὶ οὐδεὶς ἐξ ὑμῶν ποιεῖ τὸν νόμον. Τί με ζητεῖτε ἀποκτεῖναι;

20 Ἀπεκρίθη ὁ ὄχλος καὶ εἶπεν· Δαιμόνιον ἔχεις· τίς σε ζητεῖ ἀποκτεῖναι;

21 Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· Ἓν ἔργον ἐποίησα καὶ πάντες θαυμάζετε.

22 Διὰ τοῦτο Μωσῆς δέδωκεν ὑμῖν τὴν περιτομήν, οὐχ ὅτι ἐκ τοῦ Μωσέως ἐστὶν ἀλλ' ἐκ τῶν πατέρων, καὶ ἐν σαββάτῳ περιτέμνετε ἄνθρωπον.

23 Εἰ περιτομὴν λαμβάνει ἄνθρωπος ἐν σαββάτῳ ἵνα μὴ λυθῇ ὁ νόμος Μωσέως, ἐμοὶ χολᾶτε ὅτι ὅλον ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν σαββάτῳ;

24 Μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνετε.

25 Ἔλεγον οὖν τινες ἐκ τῶν Ἱεροσολυμιτῶν· Οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι;

26 Καὶ ἴδε παρρησίᾳ λαλεῖ καὶ οὐδὲν αὐτῷ λέγουσιν. Μήποτε ἀληθῶς ἔγνωσαν οἱ ἄρχοντες ὅτι οὗτός ἐστιν ὁ Χριστός;

27 Ἀλλὰ τοῦτον οἴδαμεν πόθεν ἐστίν· ὁ δὲ Χριστὸς ὅταν ἔρχηται οὐδεὶς γινώσκει πόθεν ἐστίν.

28 Ἔκραξεν οὖν ὁ Ἰησοῦς διδάσκων ἐν τῷ ἱερῷ καὶ λέγων· Κἀμὲ οἴδατε καὶ οἴδατε πόθεν εἰμί· καὶ ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, ἀλλ' ἔστιν ἀληθινὸς ὁ πέμψας με, ὃν ὑμεῖς οὐκ οἴδατε·

29 ἐγὼ οἶδα αὐτόν, ὅτι παρ' αὐτοῦ εἰμι κἀκεῖνός με ἀπέστειλεν.

30 Ἐζήτουν οὖν αὐτὸν πιάσαι· καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ.

31 Ἐκ τοῦ ὄχλου δὲ πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν καὶ ἔλεγον· Ὁ Χριστὸς ὅταν ἔλθῃ μὴ πλείονα σημεῖα ποιήσει ὧν οὗτος ἐποίησεν;

32 Ἤκουσαν οἱ Φαρισαῖοι τοῦ ὄχλου γογγύζοντος περὶ αὐτοῦ ταῦτα, καὶ ἀπέστειλαν οἱ Φαρισαῖοι καὶ οἱ ἀρχιερεῖς ὑπηρέτας ἵνα πιάσωσιν αὐτόν.

33 Εἶπεν οὖν ὁ Ἰησοῦς· Ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι καὶ ὑπάγω πρὸς τὸν πέμψαντά με.

34 Ζητήσετέ με καὶ οὐχ εὑρήσετε, καὶ ὅπου εἰμὶ ἐγὼ ὑμεῖς οὐ δύνασθε ἐλθεῖν.

35 Εἶπον οὖν οἱ Ἰουδαῖοι πρὸς ἑαυτούς· Ποῦ οὗτος μέλλει πορεύεσθαι ὅτι ἡμεῖς οὐχ εὑρήσομεν αὐτόν; μὴ εἰς τὴν διασπορὰν τῶν Ἑλλήνων μέλλει πορεύεσθαι καὶ διδάσκειν τοὺς Ἕλληνας;

36 Τίς ἐστιν οὗτος ὁ λόγος ὃν εἶπε· Ζητήσετέ με καὶ οὐχ εὑρήσετε, καὶ ὅπου εἰμὶ ἐγὼ ὑμεῖς οὐ δύνασθε ἐλθεῖν;

37 Ἐν δὲ τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ τῆς ἑορτῆς εἱστήκει ὁ Ἰησοῦς καὶ ἔκραξε λέγων· Ἐάν τις διψᾷ ἐρχέσθω πρός με καὶ πινέτω ὁ πιστεύων εἰς ἐμέ.

38 Καθὼς εἶπεν ἡ γραφή· Ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος.

39 Τοῦτο δὲ εἶπε περὶ τοῦ Πνεύματος οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύσαντες εἰς αὐτόν· οὔπω γὰρ ἦν Πνεῦμα ἅγιον, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη.

40 Ἐκ τοῦ ὄχλου οὖν ἀκούσαντες τῶν λόγων τούτων ἔλεγον· Οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης.

41 Ἄλλοι ἔλεγον· Οὗτός ἐστιν ὁ Χριστός. Ἄλλοι δὲ ἔλεγον· Μὴ γὰρ ἐκ τῆς Γαλιλαίας ὁ Χριστὸς ἔρχεται;

42 Οὐχὶ ἡ γραφὴ εἶπεν ὅτι ἐκ τοῦ σπέρματος Δαβὶδ καὶ ἀπὸ Βηθλεὲμ τῆς κώμης ὅπου ἦν Δαβὶδ ὁ Χριστὸς ἔρχεται;

43 Σχίσμα οὖν ἐν τῷ ὄχλῳ ἐγένετο δι' αὐτόν.

44 Τινὲς δὲ ἤθελον ἐξ αὐτῶν πιάσαι αὐτόν· ἀλλ' οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας.

45 Ἦλθον οὖν οἱ ὑπηρέται πρὸς τοὺς ἀρχιερεῖς καὶ Φαρισαίους, καὶ εἶπον αὐτοῖς ἐκεῖνοι· Διὰ τί οὐκ ἠγάγετε αὐτόν;

46 Ἀπεκρίθησαν οἱ ὑπηρέται· Οὐδέποτε οὕτως ἐλάλησεν ἄνθρωπος ὡς οὗτος ὁ ἄνθρωπος.

47 Ἀπεκρίθησαν οὖν αὐτοῖς οἱ Φαρισαῖοι· Μὴ καὶ ὑμεῖς πεπλάνησθε;

48 Μή τις ἐκ τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτὸν ἢ ἐκ τῶν Φαρισαίων;

49 Ἀλλὰ ὁ ὄχλος οὗτος ὁ μὴ γινώσκων τὸν νόμον ἐπάρατοί εἰσι.

50 Λέγει Νικόδημος πρὸς αὐτούς, ὁ ἐλθὼν νυκτὸς πρὸς αὐτόν, εἷς ὢν ἐξ αὐτῶν·

51 Μὴ ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον ἐὰν μὴ ἀκούσῃ παρ' αὐτοῦ πρῶτον καὶ γνῷ τί ποιεῖ;

52 Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ· Μὴ καὶ σὺ ἐκ τῆς Γαλιλαίας εἶ; ἐρεύνησον καὶ ἴδε ὅτι προφήτης ἐκ τῆς Γαλιλαίας οὐκ ἐγήγερται.

53 Καὶ ἐπορεύθησαν ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ.

Κεφ. η'.

1 Ὁ δὲ Ἰησοῦς ἐπορεύθη εἰς τὸ ὄρος τῶν Ἐλαιῶν.

2 Καὶ ὄρθρου πάλιν παρεγένετο εἰς τὸ ἱερόν, καὶ πᾶς ὁ λαὸς ἤρχετο πρὸς αὐτόν· καὶ καθίσας ἐδίδασκεν αὐτούς.

3 Ἄγουσι δὲ οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι γυναῖκα ἐπὶ μοιχείᾳ κατειλημμένην, καὶ στήσαντες αὐτὴν ἐν μέσῳ

4 λέγουσιν αὐτῷ· Διδάσκαλε, αὕτη ἡ γυνὴ κατείληπται ἐπ' αὐτοφώρῳ μοιχευομένη.

5 Ἐν δὲ τῷ νόμῳ ἡμῖν Μωσῆς ἐνετείλατο τὰς τοιαύτας λιθάζειν· σὺ οὖν τί λέγεις περὶ αὐτῆς;

6 Τοῦτο δὲ ἔλεγον πειράζοντες αὐτόν, ἵνα ἔχωσι κατηγορεῖν αὐτοῦ. Ὁ δὲ Ἰησοῦς κάτω κύψας τῷ δακτύλῳ κατέγραφεν εἰς τὴν γῆν μὴ προσποιούμενος.

7 Ὡς δὲ ἐπέμενον ἐρωτῶντες αὐτόν, ἀνέκυψε καὶ εἶπεν αὐτοῖς· Ὁ ἀναμάρτητος ὑμῶν πρῶτος ἐπ' αὐτῇ βαλέτω λίθον.

8 Καὶ πάλιν κατακύψας ἔγραφεν εἰς τὴν γῆν.

9 Οἱ δὲ ἀκούσαντες καὶ ὑπὸ τῆς συνειδήσεως ἐλεγχόμενοι ἐξήρχοντο εἷς καθ' εἷς, ἀρξάμενοι ἀπὸ τῶν πρεσβυτέρων ἕως τῶν ἐσχάτων· καὶ κατελείφθη μόνος ὁ Ἰησοῦς καὶ ἡ γυνὴ ἐν μέσῳ οὖσα.

10 Ἀνακύψας δὲ ὁ Ἰησοῦς εἶπεν αὐτῇ· Γύναι, ποῦ εἰσιν; οὐδείς σε κατέκρινεν;

11 Ἡ δὲ εἶπεν· Οὐδείς, Κύριε. Εἶπε δὲ ὁ Ἰησοῦς· Οὐδὲ ἐγώ σε κατακρίνω· πορεύου καὶ μηκέτι ἁμάρτανε.

12 Πάλιν οὖν αὐτοῖς ὁ Ἰησοῦς ἐλάλησε λέγων· Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς.

13 Εἶπον οὖν αὐτῷ οἱ Φαρισαῖοι· Σὺ περὶ σεαυτοῦ μαρτυρεῖς· ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής.

14 Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· Κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἀληθής ἐστιν ἡ μαρτυρία μου, ὅτι οἶδα πόθεν ἦλθον καὶ ποῦ ὑπάγω· ὑμεῖς δὲ οὐκ οἴδατε πόθεν ἔρχομαι ἢ ποῦ ὑπάγω.

15 Ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε, ἐγὼ οὐ κρίνω οὐδένα.

16 Καὶ ἐὰν κρίνω δὲ ἐγὼ, ἡ κρίσις ἡ ἐμὴ ἀληθής ἐστιν, ὅτι μόνος οὐκ εἰμί, ἀλλ' ἐγὼ καὶ ὁ πέμψας με Πατήρ.

17 Καὶ ἐν τῷ νόμῳ δὲ τῷ ὑμετέρῳ γέγραπται ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστιν.

18 Ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με Πατήρ.

19 Ἔλεγον οὖν αὐτῷ· Ποῦ ἐστιν ὁ Πατήρ σου; Ἀπεκρίθη Ἰησοῦς· Οὔτε ἐμὲ οἴδατε οὔτε τὸν Πατέρα μου· εἰ ἐμὲ ἤδειτε, καὶ τὸν Πατέρα μου ἂν ἤδειτε.

20 Ταῦτα τὰ ῥήματα ἐλάλησεν ἐν τῷ γαζοφυλακίῳ διδάσκων ἐν τῷ ἱερῷ· καὶ οὐδεὶς ἐπίασεν αὐτόν, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ.

21 Εἶπεν οὖν πάλιν αὐτοῖς· Ἐγὼ ὑπάγω καὶ ζητήσετέ με καὶ ἐν τῇ ἁμαρτίᾳ ὑμῶν ἀποθανεῖσθε· ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν.

22 Ἔλεγον οὖν οἱ Ἰουδαῖοι· Μήτι ἀποκτενεῖ ἑαυτόν, ὅτι λέγει· Ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν;

23 Καὶ ἔλεγεν αὐτοῖς· Ὑμεῖς ἐκ τῶν κάτω ἐστέ, ἐγὼ ἐκ τῶν ἄνω εἰμί· ὑμεῖς ἐκ τοῦ κόσμου τούτου ἐστέ, ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου τούτου.

24 Εἶπον οὖν ὑμῖν ὅτι ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν· ἐὰν γὰρ μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν.

25 Ἔλεγον οὖν αὐτῷ· Σὺ τίς εἶ; Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Τὴν ἀρχὴν ὅτι καὶ λαλῶ ὑμῖν.

26 Πολλὰ ἔχω περὶ ὑμῶν λαλεῖν καὶ κρίνειν· ἀλλ' ὁ πέμψας με ἀληθής ἐστιν, κἀγὼ ἃ ἤκουσα παρ' αὐτοῦ ταῦτα λαλῶ εἰς τὸν κόσμον.

27 Οὐκ ἔγνωσαν ὅτι τὸν Πατέρα αὐτοῖς ἔλεγεν.

28 Εἶπεν οὖν ὁ Ἰησοῦς· Ὅταν ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε ὅτι ἐγώ εἰμι καὶ ἀπ' ἐμαυτοῦ ποιῶ οὐδέν· ἀλλὰ καθὼς ἐδίδαξέ με ὁ Πατὴρ ταῦτα λαλῶ.

29 Καὶ ὁ πέμψας με μετ' ἐμοῦ ἐστιν· οὐκ ἀφῆκέ με μόνον ὁ Πατήρ, ὅτι ἐγὼ τὰ ἀρεστὰ αὐτῷ ποιῶ πάντοτε.

30 Ταῦτα αὐτοῦ λαλοῦντος πολλοὶ ἐπίστευσαν εἰς αὐτόν.

31 Ἔλεγεν οὖν ὁ Ἰησοῦς πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους· Ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μού ἐστε,

32 καὶ γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς.

33 Ἀπεκρίθησαν πρὸς αὐτόν· Σπέρμα Ἀβραάμ ἐσμεν καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε· πῶς σὺ

θαλάσσης εἰς Καπερναούμ· καὶ σκοτία ἤδη ἐγεγόνει, καὶ οὐκ ἐληλύθει πρὸς αὐτὸὺς ὁ Ἰησοῦς.

18 Ἡ τε θάλασσα, ἀνέμου μεγάλου πνέοντος, διηγείρετο.

19 Ἐληλακότες οὖν ὡς σταδίους εἰκοσιπέντε ἢ τριάκοντα, θεωροῦσι τὸν Ἰησοῦν περιπατοῦντα ἐπὶ τῆς θαλάσσης, καὶ ἐγγὺς τοῦ πλοίου γινόμενον· καὶ ἐφοβήθησαν.

20 Ὁ δὲ λέγει αὐτοῖς· Ἐγώ εἰμι, μὴ φοβεῖσθε.

21 Ἤθελον οὖν λαβεῖν αὐτὸν εἰς τὸ πλοῖον· καὶ εὐθέως τὸ πλοῖον ἐγένετο ἐπὶ τῆς γῆς εἰς ἣν ὑπῆγον.

22 Τῇ ἐπαύριον ὁ ὄχλος ὁ ἑστηκὼς πέραν τῆς θαλάσσης, ἰδὼν ὅτι πλοιάριον ἄλλο οὐκ ἦν ἐκεῖ, εἰ μὴ ἓν ἐκεῖνο εἰς ὃ ἐνέβησαν οἱ μαθηταὶ αὐτοῦ, καὶ ὅτι οὐ συνεισῆλθε τοῖς μαθηταῖς αὐτοῦ ὁ Ἰησοῦς εἰς τὸ πλοιάριον, ἀλλὰ μόνοι οἱ μαθηταὶ αὐτοῦ ἀπῆλθον·

23 Ἄλλα δὲ ἦλθε πλοιάρια ἐκ Τιβεριάδος ἐγγὺς τοῦ τόπου ὅπου ἔφαγον τὸν ἄρτον, εὐχαριστήσαντος τοῦ Κυρίου·

24 Ὅτι οὖν εἶδεν ὁ ὄχλος ὅτι Ἰησοῦς οὐκ ἔστιν ἐκεῖ, οὐδὲ οἱ μαθηταὶ αὐτοῦ, ἐνέβησαν καὶ τὴν θάλασσαν εἰς τὴν Καπερναούμ· καὶ ὠράμαν ἐσκοτίαζε, καὶ ὁ Ἰησοῦς οὐκόμι δὲν ἤθελε ὑπάγη εἰς αὐτούς.

18 Καὶ ἡ θάλασσα ἐφύσαινε, διατὶ ἔφυσα μεγάλο ἀνεμο.

19 Λοιπὸν ὡσὰν ἔλαμναν εἰκοσιπέντε ἢ τριάντα στάδια, βλέπουσι τὸν Ἰησοῦν ὅπου ἐπερπάτει ἀπάνω εἰς τὴν θάλασσαν, καὶ ἤλθε κοντὰ εἰς τὸ καράβι· καὶ ἐφοβήθηκαν.

20 Καὶ ὁ Ἰησοῦς τοὺς εἶπεν· Ἐγὼ εἶμαι, μὴν φοβᾶσθε.

21 Ἤθελαν λοιπὸν νὰ τὸν πάρουν εἰς τὸ καράβι· καὶ παρευθὺς τὸ καράβι εὑρέθη εἰς τὴν γῆν ὅπου ἐπήγαζαν (εἰς πᾶσιν.)

22 Καὶ τὴν ἄλλην ἡμέραν ὁ λαὸς ὅπου ἐστέκετον πέρ ἀπὸ τὴν θάλασσαν, βλέποντας ὅτι ἄλλο καράβι δὲν εἶναι ἐκεῖ, παρὰ ἕνα ἐκεῖνο εἰς τὸ ὁποῖον ἐμβῆκαν οἱ μαθητάδις του, καὶ ὅτι δὲν ἐμβῆκε μαζὺ μὲ τοὺς μαθητάδις του ὁ Ἰησοῦς εἰς τὸ καράβι, ἀλλὰ μοναχοὶ οἱ μαθητάδις του ἐδιάβηκαν·

23 Καὶ ἦλθαν καὶ ἄλλα μικρὰ καράβια ἀπὸ τὴν Τιβεριάδα, κοντὰ εἰς τὸν τόπον ἐκεῖνον ὅπου, εὐχαριστῶντας ὁ Κύριος, ἔφαγαν τὸ ψωμί.

24 Καὶ ὅταν λοιπὸν εἶδαν τὸ πλῆθος, ὅτι ὁ Ἰησοῦς δὲν εἶναι ἐκεῖ, οὐδὲ οἱ μαθητάδις του,

αὐτοὶ εἰς τὰ πλοῖα, καὶ ἦλθον εἰς Καπερναοὺμ, ζητοῦντες τὸν Ἰησοῦν.

25 Καὶ εὑρόντες αὐτὸν πέραν τῆς θαλάσσης, εἶπον αὐτῷ· Ῥαββὶ, πότε ὧδε γέγονας;

26 Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς καὶ εἶπεν· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ζητεῖτέ με οὐχ ὅτι εἴδετε σημεῖα, ἀλλ' ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων, καὶ ἐχορτάσθητε.

27 Ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν αἰώνιον, ἣν ὁ υἱὸς τοῦ ἀνθρώπου ὑμῖν δώσει· τοῦτον γὰρ ὁ πατὴρ ἐσφράγισεν, ὁ Θεός.

28 Εἶπον οὖν πρὸς αὐτόν· Τί ποιῶμεν, ἵνα ἐργαζώμεθα τὰ ἔργα τοῦ Θεοῦ;

29 Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· Τοῦτό ἐστι τὸ ἔργον τοῦ Θεοῦ, ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος.

30 Εἶπον οὖν αὐτῷ· Τί οὖν ποιεῖς σὺ σημεῖον, ἵνα ἴδωμεν καὶ πιστεύσωμέν σοι; τί ἐργάζῃ;

31 Οἱ πατέρες ἡμῶν τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ, καθὼς ἐστι γεγραμμένον· Ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν.

32 Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν· Οὐ Μωσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ· ἀλλ' ὁ πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν.

33 Ὁ γὰρ ἄρτος τοῦ Θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ.

34 Εἶπον οὖν πρὸς αὐτόν· Κύριε, πάντοτε δὸς ἡμῖν τὸν ἄρτον τοῦτον.

35 Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς· ὁ ἐρχόμενος πρός με οὐ μὴ πεινάσῃ, καὶ ὁ πιστεύων εἰς ἐμὲ οὐ μὴ διψήσῃ πώποτε.

36 Ἀλλ' εἶπον ὑμῖν ὅτι καὶ ἑωράκατέ με, καὶ οὐ πιστεύετε.

37 Πᾶν ὃ δίδωσί μοι ὁ πατὴρ πρός με ἥξει· καὶ τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω·

38 Ὅτι καταβέβηκα ἀπὸ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με.

39 Τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με πατρὸς, ἵνα πᾶν ὃ δέδωκέ μοι μὴ ἀπολέσω ἐξ αὐτοῦ, ἀλλὰ ἀναστήσω αὐτὸ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.

40 Τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πατρός μου, ἵνα πᾶς ὁ θεωρῶν τὸν υἱὸν καὶ πιστεύων εἰς αὐτὸν ἔχῃ ζωὴν αἰώνιον· καὶ ἀναστήσω αὐτὸν ἐγὼ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.

41 Ἐγόγγυζον οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι εἶπεν· Ἐγώ εἰμι ὁ ἄρτος ὁ καταβὰς ἐκ τοῦ οὐρανοῦ·

42 Καὶ ἔλεγον· Οὐχὶ οὗτός ἐστιν Ἰησοῦς ὁ υἱὸς Ἰωσὴφ, οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα; πῶς οὖν λέγει οὗτος· Ὅτι ἐξ οὐρανοῦ καταβέβηκα;

43 Ἀπεκρίθη οὖν ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· Μὴ γογγύζετε μετ' ἀλλήλων.

44 Οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτόν· καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.

45 Ἔστι γεγραμμένον ἐν τοῖς προφήταις· Καὶ ἔσονται πάντες διδακτοὶ θεοῦ· πᾶς ὁ ἀκούσας παρὰ τοῦ πατρὸς καὶ μαθὼν ἔρχεται πρός με.

46 Οὐχ ὅτι τὸν πατέρα ἑώρακέ τις, εἰ μὴ ὁ ὢν παρὰ τοῦ Θεοῦ, οὗτος ἑώρακε τὸν πατέρα.

47 Ἀμὴν ἀμὴν λέγω ὑμῖν· Ὁ πιστεύων εἰς ἐμὲ ἔχει ζωὴν αἰώνιον.

48 Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς.

49 Οἱ πατέρες ὑμῶν τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ, καὶ ἀπέθανον.

50 Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, ἵνα τις ἐξ αὐτοῦ φάγῃ καὶ μὴ ἀποθάνῃ.

51 Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα· καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς.

52 Ἐμάχοντο οὖν πρὸς ἀλλήλους οἱ Ἰουδαῖοι, λέγοντες· Πῶς δύναται οὗτος ἡμῖν δοῦναι τὴν σάρκα αὐτοῦ φαγεῖν;

53 Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν· Ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς.

54 Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἔχει ζωὴν αἰώνιον· καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.

55 Ἡ γὰρ σάρξ μου ἀληθής ἐστι βρῶσις, καὶ τὸ αἷμα μου ἀληθής ἐστι πόσις.

56 Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ.

57 Καθὼς ἀπέστειλέ με ὁ ζῶν πατὴρ, κἀγὼ ζῶ διὰ τὸν πατέρα· καὶ ὁ τρώγων με, κἀκεῖνος ζήσεται δι' ἐμέ.

58 Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· οὐ καθὼς ἔφαγον οἱ πατέρες καὶ ἀπέθανον· ὁ τρώγων τοῦτον τὸν ἄρτον ζήσεται εἰς τὸν αἰῶνα.

59 Ταῦτα εἶπεν ἐν συναγωγῇ διδάσκων ἐν Καπερναούμ.

60 Πολλοὶ οὖν ἀκούσαντες ἐκ τῶν μαθητῶν αὐτοῦ εἶπον· Σκληρός ἐστιν ὁ λόγος οὗτος· τίς δύναται αὐτοῦ ἀκούειν;

61 Εἰδὼς δὲ ὁ Ἰησοῦς ἐν ἑαυτῷ ὅτι γογγύζουσιν περὶ τούτου οἱ μαθηταὶ αὐτοῦ, εἶπεν αὐτοῖς· Τοῦτο ὑμᾶς σκανδαλίζει;

62 Ἐὰν οὖν θεωρῆτε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα ὅπου ἦν τὸ πρότερον;

63 Τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν· ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν· τὰ ῥήματα ἃ ἐγὼ λελάληκα ὑμῖν πνεῦμά ἐστι καὶ ζωή ἐστιν.

64 Ἀλλ' εἰσὶν ἐξ ὑμῶν τινες οἱ οὐ πιστεύουσιν. Ἤδει γὰρ ἐξ ἀρχῆς ὁ Ἰησοῦς τίνες εἰσὶν οἱ μὴ πιστεύοντες, καὶ τίς ἐστιν ὁ παραδώσων αὐτόν.

65 Καὶ ἔλεγε· Διὰ τοῦτο εἰρήκειν ὑμῖν ὅτι οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ πατρός μου.

66 Ἐκ τούτου πολλοὶ ἐκ τῶν μαθητῶν αὐτοῦ ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ οὐκέτι μετ' αὐτοῦ περιεπάτουν.

67 Εἶπεν οὖν ὁ Ἰησοῦς τοῖς δώδεκα· Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν;

68 Ἀπεκρίθη οὖν αὐτῷ Σίμων Πέτρος· Κύριε, πρὸς τίνα ἀπελευσόμεθα; ῥήματα ζωῆς αἰωνίου ἔχεις·

69 Καὶ ἡμεῖς πεπιστεύκαμεν καὶ ἐγνώκαμεν ὅτι σὺ εἶ ὁ ἅγιος τοῦ Θεοῦ.

70 Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Οὐκ ἐγὼ ὑμᾶς τοὺς δώδεκα ἐξελεξάμην; καὶ ἐξ ὑμῶν εἷς διάβολός ἐστιν.

71 Ἔλεγε δὲ τὸν Ἰούδαν Σίμωνος Ἰσκαριώτου· οὗτος γὰρ ἔμελλεν παραδιδόναι αὐτὸν, εἷς ὢν ἐκ τῶν δώδεκα.

Κεφάλαιον ζ'.

1 Καὶ περιεπάτει ὁ Ἰησοῦς μετὰ ταῦτα ἐν τῇ Γαλιλαίᾳ· οὐ γὰρ ἤθελεν ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν, ὅτι ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι.

2 Ἦν δὲ ἐγγὺς ἡ ἑορτὴ τῶν Ἰουδαίων ἡ σκηνοπηγία.

3 Εἶπον οὖν πρὸς αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ· Μετάβηθι ἐντεῦθεν καὶ ὕπαγε εἰς τὴν Ἰουδαίαν, ἵνα καὶ οἱ μαθηταί σου θεωρήσουσι τὰ ἔργα σου ἃ ποιεῖς·

4 Οὐδεὶς γάρ τι ἐν κρυπτῷ ποιεῖ καὶ ζητεῖ αὐτὸς παρρησίᾳ εἶναι· εἰ ταῦτα ποιεῖς, φανέρωσον σεαυτὸν τῷ κόσμῳ.

5 Οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν.

6 Λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ὁ καιρὸς ὁ ἐμὸς οὔπω πάρεστιν· ὁ δὲ καιρὸς ὁ ὑμέτερος πάντοτέ ἐστιν ἕτοιμος.

7 Οὐ δύναται ὁ κόσμος μισεῖν ὑμᾶς· ἐμὲ δὲ μισεῖ, ὅτι ἐγὼ μαρτυρῶ περὶ αὐτοῦ ὅτι τὰ ἔργα αὐτοῦ πονηρά ἐστιν.

8 Ὑμεῖς ἀναβαίνετε εἰς τὴν ἑορτήν· ἐγὼ οὐκ ἀναβαίνω εἰς τὴν ἑορτὴν ταύτην, ὅτι ὁ ἐμὸς καιρὸς οὔπω πεπλήρωται.

9 Ταῦτα δὲ εἰπὼν αὐτοῖς ἔμεινεν ἐν τῇ Γαλιλαίᾳ.

10 Ὡς δὲ ἀνέβησαν οἱ ἀδελφοὶ αὐτοῦ εἰς τὴν ἑορτήν, τότε καὶ αὐτὸς ἀνέβη εἰς τὴν ἑορτὴν οὐ φανερῶς, ἀλλὰ ὡς ἐν κρυπτῷ.

11 Οἱ οὖν Ἰουδαῖοι ἐζήτουν αὐτὸν ἐν τῇ ἑορτῇ, καὶ ἔλεγον· Ποῦ ἐστιν ἐκεῖνος;

12 Καὶ γογγυσμὸς περὶ αὐτοῦ ἦν πολὺς ἐν τοῖς ὄχλοις· οἱ μὲν ἔλεγον ὅτι ἀγαθός ἐστιν· ἄλλοι δὲ ἔλεγον· Οὐχί, ἀλλὰ πλανᾷ τὸν ὄχλον.

13 Οὐδεὶς μέντοι παρρησίᾳ ἐλάλει περὶ αὐτοῦ διὰ τὸν φόβον τῶν Ἰουδαίων.

14 Ἤδη δὲ τῆς ἑορτῆς μεσούσης ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν καὶ ἐδίδασκε.

15 Καὶ ἐθαύμαζον οἱ Ἰουδαῖοι, λέγοντες· Πῶς οὗτος γράμματα οἶδε μὴ μεμαθηκώς;

16 Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς καὶ εἶπεν· Ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμὴ, ἀλλὰ τοῦ πέμψαντός με·

17 Ἐάν τις θέλῃ τὸ θέλημα αὐτοῦ ποιεῖν, γνώσεται περὶ τῆς διδαχῆς πότερον ἐκ τοῦ Θεοῦ ἐστιν, ἢ ἐγὼ ἀπ' ἐμαυτοῦ λαλῶ.

18 Ὁ ἀφ' ἑαυτοῦ λαλῶν τὴν δόξαν τὴν ἰδίαν ζητεῖ· ὁ δὲ ζητῶν τὴν δόξαν τοῦ πέμψαντος αὐτὸν οὗτος ἀληθής ἐστι, καὶ ἀδικία ἐν αὐτῷ οὐκ ἔστιν.

19 Οὐ Μωσῆς δέδωκεν ὑμῖν τὸν νόμον; καὶ οὐδεὶς ἐξ ὑμῶν ποιεῖ τὸν νόμον. Τί με ζητεῖτε ἀποκτεῖναι;

20 Ἀπεκρίθη ὁ ὄχλος καὶ εἶπεν· Δαιμόνιον ἔχεις· τίς σε ζητεῖ ἀποκτεῖναι;

21 Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· Ἓν ἔργον ἐποίησα, καὶ πάντες θαυμάζετε.

22 Διὰ τοῦτο Μωσῆς δέδωκεν ὑμῖν τὴν περιτομήν· οὐχ ὅτι ἐκ τοῦ Μωσέως ἐστὶν, ἀλλ' ἐκ τῶν πατέρων· καὶ ἐν σαββάτῳ περιτέμνετε ἄνθρωπον.

23 Εἰ περιτομὴν λαμβάνει ἄνθρωπος ἐν σαββάτῳ, ἵνα μὴ λυθῇ ὁ νόμος Μωσέως, ἐμοὶ χολᾶτε ὅτι ὅλον ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν σαββάτῳ;

24 Μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνετε.

25 Ἔλεγόν τινες ἐκ τῶν Ἱεροσολυμιτῶν· Οὐχὶ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι;

26 Καὶ ἴδε παρρησίᾳ λαλεῖ, καὶ οὐδὲν αὐτῷ λέγουσιν. Μήποτε ἀληθῶς ἔγνωσαν οἱ ἄρχοντες ὅτι οὗτός ἐστιν ὁ Χριστός;

27 Ἀλλὰ τοῦτον οἴδαμεν πόθεν ἐστίν· ὁ δὲ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν ἐστίν.

28 Ἔκραξεν οὖν ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ διδάσκων καὶ λέγων· Κἀμὲ οἴδατε καὶ οἴδατε πόθεν εἰμί· καὶ ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα· ἀλλ' ἔστιν ἀληθινὸς ὁ πέμψας με, ὃν ὑμεῖς οὐκ οἴδατε.

29 Ἐγὼ οἶδα αὐτόν, ὅτι παρ' αὐτοῦ εἰμι, κἀκεῖνός με ἀπέστειλεν.

30 Ἐζήτουν οὖν αὐτὸν πιάσαι· καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὴν χεῖρα, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ.

31 Ἐκ τοῦ ὄχλου δὲ πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν, καὶ ἔλεγον· Ὁ Χριστὸς ὅταν ἔλθῃ, μὴ πλείονα σημεῖα ποιήσει ὧν οὗτος ἐποίησεν;

32 Ἤκουσαν οἱ Φαρισαῖοι τοῦ ὄχλου γογγύζοντος περὶ αὐτοῦ ταῦτα· καὶ ἀπέστειλαν οἱ Φαρισαῖοι καὶ οἱ ἀρχιερεῖς ὑπηρέτας ἵνα πιάσωσιν αὐτόν.

33 Εἶπεν οὖν ὁ Ἰησοῦς· Ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι, καὶ ὑπάγω πρὸς τὸν πέμψαντά με.

34 Ζητήσετέ με καὶ οὐχ εὑρήσετε· καὶ ὅπου εἰμὶ ἐγὼ ὑμεῖς οὐ δύνασθε ἐλθεῖν.

35 Εἶπον οὖν οἱ Ἰουδαῖοι πρὸς ἑαυτούς· Ποῦ οὗτος μέλλει πορεύεσθαι ὅτι ἡμεῖς οὐχ εὑρήσομεν αὐτόν; μὴ εἰς τὴν διασπορὰν τῶν Ἑλλήνων μέλλει πορεύεσθαι καὶ διδάσκειν τοὺς Ἕλληνας;

36 Τίς ἐστιν ὁ λόγος οὗτος ὃν εἶπε· Ζητήσετέ με καὶ οὐχ εὑρήσετε· καὶ ὅπου εἰμὶ ἐγὼ ὑμεῖς οὐ δύνασθε ἐλθεῖν;

37 Ἐν δὲ τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ τῆς ἑορτῆς εἱστήκει ὁ Ἰησοῦς καὶ ἔκραξε λέγων· Ἐάν τις διψᾷ, ἐρχέσθω πρός με καὶ πινέτω.

38 Ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος.

39 Τοῦτο δὲ εἶπε περὶ τοῦ πνεύματος οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύσαντες εἰς αὐτόν· οὔπω γὰρ ἦν πνεῦμα ἅγιον, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη.

40 Ἐκ τοῦ ὄχλου οὖν ἀκούσαντες τῶν λόγων τούτων ἔλεγον· Οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης.

41 Ἄλλοι ἔλεγον· Οὗτός ἐστιν ὁ Χριστός· οἱ δὲ ἔλεγον· Μὴ γὰρ ἐκ τῆς Γαλιλαίας ὁ Χριστὸς ἔρχεται;

42 Οὐχὶ ἡ γραφὴ εἶπεν ὅτι ἐκ τοῦ σπέρματος Δαβὶδ καὶ ἀπὸ Βηθλεὲμ τῆς κώμης ὅπου ἦν Δαβὶδ ὁ Χριστὸς ἔρχεται;

43 Σχίσμα οὖν ἐν τῷ ὄχλῳ ἐγένετο δι' αὐτόν.

44 Τινὲς δὲ ἤθελον ἐξ αὐτῶν πιάσαι αὐτόν· ἀλλ' οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας.

45 Ἦλθον οὖν οἱ ὑπηρέται πρὸς τοὺς ἀρχιερεῖς καὶ Φαρισαίους· καὶ εἶπον αὐτοῖς ἐκεῖνοι· Διὰ τί οὐκ ἠγάγετε αὐτόν;

46 Ἀπεκρίθησαν οἱ ὑπηρέται· Οὐδέποτε οὕτως ἐλάλησεν ἄνθρωπος ὡς οὗτος ὁ ἄνθρωπος.

47 Ἀπεκρίθησαν οὖν αὐτοῖς οἱ Φαρισαῖοι· Μὴ καὶ ὑμεῖς πεπλάνησθε;

48 Μή τις ἐκ τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτὸν, ἢ ἐκ τῶν Φαρισαίων;

49 Ἀλλὰ ὁ ὄχλος οὗτος ὁ μὴ γινώσκων τὸν νόμον ἐπάρατοί εἰσι.

50 Λέγει Νικόδημος πρὸς αὐτοὺς, ὁ ἐλθὼν νυκτὸς πρὸς αὐτὸν, εἷς ὢν ἐξ αὐτῶν·

51 Μὴ ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον ἐὰν μὴ ἀκούσῃ παρ' αὐτοῦ πρῶτον καὶ γνῷ τί ποιεῖ;

52 Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ· Μὴ καὶ σὺ ἐκ τῆς Γαλιλαίας εἶ; ἐρεύνησον καὶ ἴδε ὅτι προφήτης ἐκ τῆς Γαλιλαίας οὐκ ἐγήγερται.

53 Καὶ ἐπορεύθησαν ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ.

Κεφάλαιον η'.

1 Ὁ δὲ Ἰησοῦς ἐπορεύθη εἰς τὸ ὄρος τῶν Ἐλαιῶν.

2 Καὶ ὄρθρου πάλιν παρεγένετο εἰς τὸ ἱερὸν, καὶ πᾶς ὁ λαὸς ἤρχετο πρὸς αὐτόν· καὶ καθίσας ἐδίδασκεν αὐτούς.

3 Ἄγουσι δὲ οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι γυναῖκα ἐπὶ μοιχείᾳ κατειλημμένην· καὶ στήσαντες αὐτὴν ἐν μέσῳ,

4 Εἶπον αὐτῷ· Διδάσκαλε, αὕτη ἡ γυνὴ κατείληπται ἐπ' αὐτοφώρῳ μοιχευομένη·

5 Ἐν δὲ τῷ νόμῳ ἡμῖν Μωσῆς ἐνετείλατο τὰς τοιαύτας λιθάζειν· σὺ οὖν τί λέγεις περὶ αὐτῆς;

6 Τοῦτο δὲ ἔλεγον πειράζοντες αὐτὸν, ἵνα ἔχωσι κατηγορεῖν αὐτοῦ. Ὁ δὲ Ἰησοῦς κάτω κύψας τῷ δακτύλῳ κατέγραφεν εἰς τὴν γῆν, μὴ προσποιούμενος.

7 Ὡς δὲ ἐπέμενον ἐρωτῶντες αὐτὸν, ἀνέκυψε καὶ εἶπεν αὐτοῖς· Ὁ ἀναμάρτητος ὑμῶν πρῶτος ἐπ' αὐτῇ τὸν λίθον βαλέτω.

8 Καὶ πάλιν κατακύψας ἔγραφεν εἰς τὴν γῆν.

9 Οἱ δὲ ἀκούσαντες ἐξήρχοντο εἷς καθ' εἷς, ἀρξάμενοι ἀπὸ τῶν πρεσβυτέρων· καὶ κατελείφθη μόνος ὁ Ἰησοῦς καὶ ἡ γυνὴ ἐν μέσῳ οὖσα.

10 Ἀνακύψας δὲ ὁ Ἰησοῦς εἶπεν αὐτῇ· Γύναι, ποῦ εἰσιν; οὐδείς σε κατέκρινεν;

11 Ἡ δὲ εἶπε· Οὐδείς, κύριε. Εἶπε δὲ ὁ Ἰησοῦς· Οὐδὲ ἐγώ σε κατακρίνω· πορεύου, καὶ μηκέτι ἁμάρτανε.

12 Πάλιν οὖν ὁ Ἰησοῦς ἐλάλησεν αὐτοῖς λέγων· Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς.

13 Εἶπον οὖν αὐτῷ οἱ Φαρισαῖοι· Σὺ περὶ σεαυτοῦ μαρτυρεῖς· ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής.

14 Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· Κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἀληθής ἐστιν ἡ μαρτυρία μου· ὅτι οἶδα πόθεν ἦλθον καὶ ποῦ ὑπάγω· ὑμεῖς δὲ οὐκ οἴδατε πόθεν ἔρχομαι ἢ ποῦ ὑπάγω.

15 Ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε· ἐγὼ οὐ κρίνω οὐδένα.

16 Καὶ ἐὰν κρίνω ἐγὼ δὲ, ἡ κρίσις ἡ ἐμὴ ἀληθής ἐστιν· ὅτι μόνος οὐκ εἰμὶ, ἀλλ' ἐγὼ καὶ ὁ πέμψας με πατήρ.

17 Καὶ ἐν τῷ νόμῳ δὲ τῷ ὑμετέρῳ γέγραπται ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστιν.

18 Ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με πατήρ.

19 Ἔλεγον οὖν αὐτῷ· Ποῦ ἐστιν ὁ πατήρ σου; Ἀπεκρίθη Ἰησοῦς· Οὔτε ἐμὲ οἴδατε οὔτε τὸν πατέρα μου· εἰ ἐμὲ ἤδειτε, καὶ τὸν πατέρα μου ἂν ἤδειτε.

20 Ταῦτα τὰ ῥήματα ἐλάλησεν ἐν τῷ γαζοφυλακίῳ διδάσκων ἐν τῷ ἱερῷ· καὶ οὐδεὶς ἐπίασεν αὐτόν, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ.

21 Εἶπεν οὖν πάλιν αὐτοῖς· Ἐγὼ ὑπάγω, καὶ ζητήσετέ με, καὶ ἐν τῇ ἁμαρτίᾳ ὑμῶν ἀποθανεῖσθε· ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν.

22 Ἔλεγον οὖν οἱ Ἰουδαῖοι· Μήτι ἀποκτενεῖ ἑαυτὸν, ὅτι λέγει· Ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν;

23 Καὶ ἔλεγεν αὐτοῖς· Ὑμεῖς ἐκ τῶν κάτω ἐστὲ, ἐγὼ ἐκ τῶν ἄνω εἰμί· ὑμεῖς ἐκ τοῦ κόσμου τούτου ἐστὲ, ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου τούτου.

24 Εἶπον οὖν ὑμῖν ὅτι ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν· ἐὰν γὰρ μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν.

25 Ἔλεγον οὖν αὐτῷ· Σὺ τίς εἶ; Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Τὴν ἀρχὴν ὅτι καὶ λαλῶ ὑμῖν.

26 Πολλὰ ἔχω περὶ ὑμῶν λαλεῖν καὶ κρίνειν· ἀλλ' ὁ πέμψας με ἀληθής ἐστιν, κἀγὼ ἃ ἤκουσα παρ' αὐτοῦ ταῦτα λαλῶ εἰς τὸν κόσμον.

27 Οὐκ ἔγνωσαν ὅτι τὸν πατέρα αὐτοῖς ἔλεγεν.

28 Εἶπεν οὖν ὁ Ἰησοῦς· Ὅταν ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε ὅτι ἐγώ εἰμι, καὶ ἀπ' ἐμαυτοῦ ποιῶ οὐδέν· ἀλλὰ καθὼς ἐδίδαξέ με ὁ πατὴρ ταῦτα λαλῶ.

29 Καὶ ὁ πέμψας με μετ' ἐμοῦ ἐστιν· οὐκ ἀφῆκέ με μόνον ὁ πατήρ, ὅτι ἐγὼ τὰ ἀρεστὰ αὐτῷ ποιῶ πάντοτε.

30 Ταῦτα αὐτοῦ λαλοῦντος πολλοὶ ἐπίστευσαν εἰς αὐτόν.

31 Ἔλεγεν οὖν ὁ Ἰησοῦς πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους· Ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μού ἐστε·

32 Καὶ γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς.

33 Ἀπεκρίθησαν πρὸς αὐτόν· Σπέρμα Ἀβραάμ ἐσμεν, καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε· πῶς σὺ λέγεις ὅτι ἐλεύθεροι γενήσεσθε;

34 Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν· Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστι τῆς ἁμαρτίας.

35 Ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα· ὁ υἱὸς μένει εἰς τὸν αἰῶνα.

36 Ἐὰν οὖν ὁ υἱὸς ὑμᾶς ἐλευθερώσῃ, ὄντως ἐλεύθεροι ἔσεσθε.

37 Οἶδα ὅτι σπέρμα Ἀβραάμ ἐστε· ἀλλὰ ζητεῖτέ με ἀποκτεῖναι, ὅτι ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ ἐν ὑμῖν.

38 Ἐγὼ ὃ ἑώρακα παρὰ τῷ πατρὶ λαλῶ· καὶ ὑμεῖς οὖν ἃ ἑωράκατε παρὰ τῷ πατρὶ ποιεῖτε.

39 Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ· Ὁ πατὴρ ἡμῶν Ἀβραάμ ἐστι. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Εἰ τέκνα τοῦ Ἀβραάμ ἐστε, τὰ ἔργα τοῦ Ἀβραὰμ ποιεῖτε·

40 Νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα ἣν ἤκουσα παρὰ τοῦ Θεοῦ· τοῦτο Ἀβραὰμ οὐκ ἐποίησεν.

41 Ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς ὑμῶν. Εἶπον οὖν αὐτῷ· Ἡμεῖς ἐκ πορνείας οὐ γεγεννήμεθα· ἕνα πατέρα ἔχομεν τὸν Θεόν.

42 Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Εἰ ὁ Θεὸς πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμέ· ἐγὼ γὰρ ἐκ τοῦ Θεοῦ ἐξῆλθον καὶ ἥκω· οὐδὲ γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα, ἀλλ' ἐκεῖνός με ἀπέστειλε.

43 Διὰ τί τὴν λαλιὰν τὴν ἐμὴν οὐ γινώσκετε; ὅτι οὐ δύνασθε ἀκούειν τὸν λόγον τὸν ἐμόν.

44 Ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ, καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν· ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς, καὶ ἐν τῇ ἀληθείᾳ οὐκ ἔστηκεν, ὅτι οὐκ ἔστιν ἀλήθεια ἐν αὐτῷ· ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ· ὅτι ψεύστης ἐστὶ καὶ ὁ πατὴρ αὐτοῦ.

45 Ἐγὼ δὲ ὅτι τὴν ἀλήθειαν λέγω, οὐ πιστεύετέ μοι.

46 Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; εἰ δὲ ἀλήθειαν λέγ

ὑμῖν τον ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν.

3 Τότε νηστεύσαντες καὶ προσευξάμενοι καὶ ἐπιθέντες τὰς χεῖρας αὐτοῖς ἀπέλυσαν.

4 Αὐτοὶ μὲν οὖν ἐκπεμφθέντες ὑπὸ τοῦ ἁγίου πνεύματος κατῆλθον εἰς Σελεύκειαν, ἐκεῖθέν τε ἀπέπλευσαν εἰς Κύπρον·

5 καὶ γενόμενοι ἐν Σαλαμῖνι κατήγγελλον τὸν λόγον τοῦ Θεοῦ ἐν ταῖς συναγωγαῖς τῶν Ἰουδαίων· εἶχον δὲ καὶ Ἰωάννην ὑπηρέτην.

6 Διελθόντες δὲ ὅλην τὴν νῆσον ἄχρι Πάφου εὗρόν τινα μάγον ψευδοπροφήτην Ἰουδαῖον, ᾧ ὄνομα Βαριησοῦς,

7 ὃς ἦν σὺν τῷ ἀνθυπάτῳ Σεργίῳ Παύλῳ, ἀνδρὶ συνετῷ· οὗτος προσκαλεσάμενος Βαρνάβαν καὶ Σαῦλον ἐπεζήτησε ἀκοῦσαι τὸν λόγον τοῦ Θεοῦ.

8 Ἀνθίστατο δὲ αὐτοῖς Ἐλύμας ὁ μάγος, οὕτω γὰρ μεθερμηνεύεται τὸ ὄνομα αὐτοῦ, ζητῶν διαστρέψαι τὸν ἀνθύπατον ἀπὸ τῆς πίστεως.

9 Σαῦλος δὲ ὁ καὶ Παῦλος πλησθεὶς πνεύματος ἁγίου ἀτενίσας εἰς αὐτὸν

10 εἶπε· Ὦ πλήρης παντὸς δόλου καὶ πάσης ῥᾳδιουργίας, υἱὲ διαβόλου, ἐχθρὲ πάσης δικαιοσύνης, οὐ παύσῃ διαστρέφων τὰς ὁδοὺς τοῦ Κυρίου τὰς εὐθείας;

11 Καὶ νῦν ἰδοὺ χεὶρ Κυρίου ἐπὶ σέ, καὶ ἔσῃ τυφλὸς μὴ βλέπων τὸν ἥλιον ἄχρι καιροῦ. Παραχρῆμα δὲ ἔπεσεν ἐπ' αὐτὸν ἀχλὺς καὶ σκότος, καὶ περιάγων ἐζήτει χειραγωγούς.

12 Τότε ἰδὼν ὁ ἀνθύπατος τὸ γεγονὸς ἐπίστευσε, ἐκπλησσόμενος ἐπὶ τῇ διδαχῇ τοῦ Κυρίου.

13

ζοὶ κατηχηθησαν αὐτὸν εἰς Καισαρειαν, καὶ ἐξαπεστειλαν αὐτον εἰς Ταρσόν.

31 Αἱ μεν οὖν ἐκκλησιαι καθ' ὅλης της Ἰουδαίας καὶ Γαλιλαίας καὶ Σαμαρείας εἰχον εἰρηνην, οἰκοδομούμεναι καὶ πορευόμεναι τῷ φόβῳ τοῦ Κυρίου, καὶ τῇ παρακλήσει τοῦ ἁγίου Πνεύματος ἐπληθύνοντο.

32 Ἐγένετο δὲ Πέτρον διερχόμενον διὰ πάντων, κατελθεῖν καὶ πρὸς τοὺς ἁγίους τοὺς κατοικοῦντας Λύδδαν.

33 Εὗρε δὲ ἐκεῖ ἄνθρωπόν τινα Αἰνέαν ὀνόματι, ἐξ ἐτῶν ὀκτὼ κατακείμενον ἐπὶ κραβάττου, ὃς ἦν παραλελυμένος.

34 Καὶ εἶπεν αὐτῷ ὁ Πέτρος· Αἰνέα, ἰᾶταί σε Ἰησοῦς ὁ Χριστός· ἀνάστηθι, καὶ στρῶσον σεαυτῷ. Καὶ εὐθέως ἀνέστη.

35 Καὶ εἶδον αὐτὸν πάντες οἱ κατοικοῦντες Λύδδαν καὶ τὸν Σαρωνα, οἵτινες ἐπέστρεψαν ἐπὶ τὸν Κύριον.

36 Ἐν Ἰόππῃ δέ τις ἦν μαθήτρια ὀνόματι Ταβιθά, ἡ διερμηνευομένη λέγεται Δορκάς· αὕτη ἦν πλήρης ἀγαθῶν ἔργων καὶ ἐλεημοσυνῶν ὧν ἐποίει.

37 Ἐγένετο δὲ ἐν ταῖς ἡμέρ-

το ἐγνώρισαν, τον ἔφεραν εἰς την Καισάρειαν, καὶ ἀπ' ἐκεῖ τον ἔστειλαν εἰς την Ταρσόν.

31 Αἱ ἐκκλησίαι λοιπὸν ὅπου ἦταν εἰς ὅλην τὴν Ἰουδαίαν, καὶ εἰς την Γαλιλαίαν, καὶ εἰς την Σαμάρειαν, εἶχαν εἰρήνην, καὶ οἰκοδομοῦνταν, καὶ ὑπάγαιναν μὲ τὸν φόβον τοῦ Κυρίου, καὶ μὲ την παρηγορίαν τοῦ ἁγίου Πνεύματος ἐπληθύνοντο.

32 Καὶ περνώντας ὁ Πέτρος διὰ μέσου ὅλων, ἐκατέβη καὶ εἰς τοὺς ἁγίους ὁπου ἐκατοικοῦσαν εἰς την Λύδδαν.

33 Καὶ ἐκεῖ εὗρηκεν ἕνα ἄνθρωπον τὸ ὄνομα τοῦ Αἰνέαν, ὁπου ἐκατέτιτο ἀπὸ ὀκτὼ χρόνους εἰς τὸ κριββάτι, καὶ ἦτον παραλυτος.

34 Καὶ εἶπέν του ὁ Πέτρος· Αἰνέα, ὁ Ἰησοῦς Χριστος σε ἰατρεύει· σήκω ἀπάνω, καὶ στρῶσε τὸ κριββάτι σου. Καὶ παρευθὺς ἐσηκώθη.

35 Καὶ εἶδάν τον ὅλοι ἐκεῖνοι ὁπου ἐκατοικοῦσαν Λύδδαν καὶ τὸν Σάρωνα, οἱ ὁποῖοι ἐγύρισαν εἰς τὸν Κύριον.

36 Καὶ εἰς την Ἰόππην ἦτον κάποια μαθήτρια, τὸ ὄνομά της Ταβιθά, ἡ ὁποῖα μεταγλωττιζομένη λέγεται Ζαρκάδι· ἦτανε γεμάτη ἀπὸ καλα ἔργα καὶ ἀπὸ ἐλεημοσύνας ὁπου ἔκαμνε.

37 Καὶ ταῖς ἡμέραις ἐκεί-

ραις ἐκείναις ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν· λούσαντες δὲ αὐτὴν ἔθηκαν ἐν ὑπερ-

38 Ἐγγὺς δὲ οὔσης Λύδδης τῆ Ἰόππῃ, οἱ μαθηταὶ ἀκούσαντες ὅτι Πέτρος ἐστὶν ἐν αὐτῇ, ἀπέστειλαν δύο ἄνδρας πρὸς αὐτὸν, παρακαλοῦντες μὴ ὀκνῆσαι διελθεῖν ἕως αὐτῶν.

39 Ἀναστὰς δὲ Πέτρος συνῆλθεν αὐτοῖς· ὃν παραγενόμενον ἀνήγαγον εἰς τὸ ὑπερῷον· καὶ παρέστησαν αὐτῷ πᾶσαι αἱ χῆραι κλαίουσαι, καὶ ἐπιδεικνύμεναι χιτῶνας καὶ ἱμάτια ὅσα ἐποίει μετ' αὐτῶν ὢν ἡ Δορκάς.

40 Ἐκβαλὼν δὲ ἔξω πάντας ὁ Πέτρος, θεὶς τὰ γόνατα προσηύξατο· καὶ ἐπιστρέψας πρὸς τὸ σῶμα, εἶπε· Ταβιθὰ, ἀνάστηθι. Ἡ δὲ ἤνοιξε τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ ἰδοῦσα τὸν Πέτρον, ἀνεκάθισε.

41 Δοὺς δὲ αὐτῇ χεῖρα, ἀνέστησεν αὐτήν· φωνήσας δὲ τοὺς ἁγίους καὶ τὰς χήρας, παρέστησεν αὐτὴν ζῶσαν.

42 Γνωστὸν δὲ ἐγένετο καθ' ὅλης τῆς Ἰόππης· καὶ πολλοὶ ἐπίστευσαν ἐπὶ τὸν Κύριον.

43 Ἐγένετο δὲ ἡμέρας ἱκανὰς μεῖναι αὐτὸν ἐν Ἰόππῃ

ναις ἰσχνάνθη καὶ ἀσθένησε καὶ ἀπέθανε· καὶ ὡσὰν τὴν ἔλουσαν τὴν ἔβαλαν εἰς τὸ ἀνώγ.

38 Καὶ μὲ τὸ εἶναι σταμὰ εἰς τὴν Ἰόππην ἡ Λύδδα, οἱ μαθητάδες ὡσὰν ἄκουσαν, ὅτι ὁ Πέτρος εἶναι εἰς τὴν Λύδδαν, ἀπέστειλαν δύο ἄνδρας εἰς αὐτὸν, παρακαλῶντας τὸν τὰ μὴ ὀκνήσῃ νὰ ἐλθῃ ἕως εἰς αὐτούς.

39 Καὶ ὁ Πέτρος ἐσηκώθη καὶ ἦλθε μαζὺ μετ' αὐτούς· ὁποῦ ὡσὰν ἦλθε τὸν ἀνέβασαν εἰς τὸ ἀνώγι· καὶ ἐγάθησαν τριγύρω του ὅλες ἡ χῆρες, καὶ ἔκλαιαν, καὶ τοῦ ἐδιήγιαν τὰ ὑποκάμισα καὶ τὰ φορέματα ὁπῦ ἔκαμε ὅταν ἦτον μετ' αὐταῖς ἡ Ζαρκάδι.

40 Καὶ ὁ Πέτρος τους ἐβγαλεν ὅλους ἔξω, καὶ γονατίζωντας ἐπροσευχήθη· καὶ ἐγύρισεν εἰς τὸ κορμὶ, καὶ εἶπε· Ταβιθὰ, σήκω ἀπάνω. Καὶ ἐκείνη ἄνοιξε τὰ μάτιά της, καὶ ὡσὰν εἶδε τὸν Πέτρον, ἀνεκάθισε.

41 Καὶ δίδωντάς της τὸ χέρι του, τὴν ἐσήκωσε. καὶ ἐβάλησε τους ἁγίους, καὶ ταῖς χῆραις, καὶ τους τὴν ἐπαράστησε ζωντανήν.

42 Καὶ ἐμαθτεύθη ἔτυτο εἰς ὅλην τὴν Ἰόππην· καὶ πολλοὶ ἐπίστευσαν εἰς τὸν Κύριον.

43 Καὶ αὐτὸς ἀπόμεινε ἀρκεταῖς ἡμέραις εἰς τὴν Ἰοπ-

παρά τινι Σίμωνι βυρσεῖ.

πην, σημὰ εἰς κάποιον Σίμωνα γναφέα.

Κεφ. ι'. 10.

1 ΑΝΗΡ δέ τις ἦν ἐν Καισαρείᾳ ὀνόματι Κορνήλιος, ἑκατοντάρχης ἐκ σπείρης τῆς καλουμένης Ἰταλικῆς,

2 Εὐσεβὴς καὶ φοβούμενος τὸν Θεὸν, σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ, ποιῶν τε ἐλεημοσύνας πολλὰς τῷ λαῷ, καὶ δεόμενος τοῦ Θεοῦ διαπαντός·

3 Εἶδεν ἐν ὁράματι φανερῶς, ὡσεὶ ὥραν ἐνάτην τῆς ἡμέρας, ἄγγελον τοῦ Θεοῦ εἰσελθόντα πρὸς αὐτὸν, καὶ εἰπόντα αὐτῷ· Κορνήλιε.

4 Ὁ δὲ ἀτενίσας αὐτῷ, καὶ ἐμφοβος γενόμενος, εἶπε· Τί ἐστι Κύριε; Εἶπε δὲ αὐτῷ· Αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ.

5 Καὶ νῦν πέμψον εἰς Ἰόππην ἄνδρας, καὶ μετάπεμψαι Σίμωνά τινα ὃς ἐπικαλεῖται Πέτρος.

6 Οὗτος ξενίζεται παρά τινι Σίμωνι βυρσεῖ, ᾧ ἐστὶν οἰκία παρὰ θάλασσαν· οὗτος λαλήσει σοι τί σε δεῖ

Καὶ κάποιος ἄνθρωπος ἦτον εἰς τὴν Καισάρειαν, τὸ ὄνομα τοῦ Κορνήλιος, ἑκατόνταρχος ἀπὸ τὸ τάγμα ὁποῦ ἐκράζετον Ἰταλικόν,

2 Εὐσεβὴς καὶ φοβούμενος τὸν Θεὸν, μὲ ὅλον τὸ σπίτι του, κάμνωντας ἐλεημοσύνας πολλὰς εἰς τὸν λαὸν, καὶ παρακαλῶντας τὸν Θεὸν πάντοτε·

3 Εἶδεν εἰς τὸ ὅραμά του φανερὰ, σημὰ εἰς τὴν ἐνάτην ὥραν τῆς ἡμέρας, ἕνα ἄγγελον τοῦ Θεοῦ ὁποῦ ἤλθεν εἰς αὐτὸν, καὶ τοῦ εἶπε· Ὦ Κορνήλιε.

4 Καὶ ἐκεῖνος ἀτένισεν εἰς αὐτὸν, καὶ ἐφοβήθη, καὶ εἶπέν του· Τί εἶναι, Αὐθέντη; Καὶ ὁ ἄγγελος του εἶπε· Αἱ προσευχαί σου καὶ ἐλεημοσύναι σου ἀνέβηκαν εἰς μνημόσυνον ἐμπροσθά εἰς τὸν Θεόν.

5 Καὶ τώρα πέμψαι εἰς τὴν Ἰόππην ἄνδρας, καὶ προσκάλεσε κάποιον Σίμωνα ὁ ὁποῖος κράζεται Πέτρος.

6 Οὗτος εὑρίσκεται σημα εἰς κάποιον Σίμωνα γναφέα, τὸ ὁποῖον τὸ σπίτι του εἶνα εἰς τὸ παραγιάλι· καὶ αὐτὸς θέλει σοῦ εἰπεῖ τί σε πρέπει

7 Ὡς δὲ ἀπῆλθεν ὁ ἄγγελος ὁ λαλῶν τῷ Κορνηλίῳ, φωνήσας δύο τῶν οἰκετῶν αὐτοῦ, καὶ στρατιώτην εὐσεβῆ τῶν προσκαρτερούντων αὐτῷ,

7 Καὶ ὡσὰν ἐδιάβη ὁ ἄγγελος ὁποῦ ἐλάλει εἰς τὸν Κορνήλιον, αὐτος ἐλάλησε δυὸ ἀπὸ τοὺς δουλευτάδες τε, καὶ ἕνα στρατιώτην εὐσεβῆ ἀπὸ ἐκείνους ὁποῦ ἐγκουνταν πάντα μετ αὐτον,

8 Καὶ ἐξηγησάμενος αὐτοῖς ἅπαντα, ἀπέστειλεν αὐτοὺς εἰς τὴν Ἰόππην.

8 Καὶ ἐδιηγήθηκεν τες ὁλα τα πραγματα, καὶ τες ἔστειλε εις την Ἰόππην.

9 Τῇ δὲ ἐπαύριον ἐκείνων ὁδοιπορούντων ἐκείνων, καὶ τῇ πόλει ἐγγιζόντων, ἀνέβη Πέτρος ἐπὶ τὸ δῶμα προσεύξασθαι, περὶ ὥραν ἕκτην.

9 Καὶ τὴν ἀλλην ἡμέραν σιριπατωντες αὐτοὶ, καὶ σημωνοντες εἰς την πόλιν, ἀνέβη ὁ Πέτρος εἰς τὸ δῶμα νὰ προσευχηθῇ, κοντὰ εἰς την ἕκτην ὥραν.

10 Ἐγένετο δὲ προσπεινῆσαι, καὶ ἤθελε γεύσασθαι· παρασκευαζόντων δὲ ἐκείνων, ἐπέπεσεν ἐπ αὐτον ἔκστασις·

10 Καὶ ἔχωντας να πεινάσῃ, ἤθελε να γευθῇ· καὶ ἐσὰν ὥραν ἑτοιμαζαν οἱ ἀνθρωποι τὸ σπητίν φαγητὸν, ἔπεσεν εἰς αὐτὸν ἔκστασις·

11 Καὶ θεωρεῖ τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ καταβαῖνόν ἐπ αὐτον σκεύός τι ὡς ὀθόνην μεγάλην, τέσσαρσιν ἀρχαῖς δεδεμένον, καὶ καθιέμενον ἐπὶ τῆς γῆς·

11 Καὶ βλέπει τὸν οὐρανὸν ἀνοικτον, καὶ ἕνα ἀγγεῖον ὁποῦ ἐκατέβαινεν εἰς αὐτὸ, ὡσὰν σιεδόνι μεγάλον, δεμένον ἀπὸ ταῖς τέσσαρες ἄκρες, καὶ καταβαζόμενον ἀπάνω εἰς την γην·

12 Ἐν ᾧ ὑπῆρχε πάντα τὰ τετράποδα τῆς γῆς, καὶ τὰ θηρία, καὶ τὰ ἑρπετὰ καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ.

12 Εἰς το ὁποῖον σιεδόνι ἦταν ὅλα τὰ τετραπόδα τῆς γῆς, καὶ ὅλα τα θηρία, καὶ ὅλα τὰ ἑρπετὰ, καὶ ὅλα τα πατεινα τῦ οὐρανῦ.

13 Καὶ ἐγένετο φωνὴ πρὸς αὐτόν· Ἀναστὰς, Πέτρε, θῦσον καὶ φαγε.

13 Καὶ φωνὴ ἤλθε πρὸς αὐτον καὶ εἶπεν· Ὦ Πέτρε, σήκω, σφάξε καὶ φαγε.

14 Ο δὲ Πέτρος εἶπε· Μηδαμῶς, Κύριε· ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν ἢ ἀκάθαρτον.

15 Καὶ φωνὴ πάλιν ἐκ δευτέρου πρὸς αὐτόν· Ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου.

16 Τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς· καὶ πάλιν ἀνελήφθη τὸ σκεῦος εἰς τὸν οὐρανόν.

17 Ὡς δὲ ἐν ἑαυτῷ διηπόρει ὁ Πέτρος τί ἂν εἴη τὸ ὅραμα ὃ εἶδε, καὶ ἰδοὺ, οἱ ἄνδρες οἱ ἀπεσταλμένοι ἀπὸ τοῦ Κορνηλίου, διερωτήσαντες τὴν οἰκίαν Σίμωνος ἐπέστησαν ἐπὶ τὸν πυλῶνα·

18 Καὶ φωνήσαντες ἐπυνθάνοντο εἰ Σίμων ὁ ἐπικαλούμενος Πέτρος ἐνθάδε ξενίζεται.

19 Τοῦ δὲ Πέτρου ἐνθυμουμένου περὶ τοῦ ὁράματος, εἶπεν αὐτῷ τὸ Πνεῦμα· Ἰδοὺ, ἄνδρες τρεῖς ζητοῦσί σε·

20 Ἀλλὰ ἀναστὰς κατάβηθι, καὶ πορεύου σὺν αὐτοῖς, μηδὲν διακρινόμενος· διότι ἐγὼ ἀπέσταλκα αὐτούς.

21 Καταβὰς δὲ Πέτρος πρὸς τοὺς ἄνδρας τοὺς ἀπεσταλμένους πρὸς αὐτὸν ἀπὸ τοῦ Κορνηλίου εἶπεν· Ἰδοὺ, ἐγώ εἰμι ὃν

14 Καὶ ὁ Πέτρος εἶπεν· Ὄχι, Κύριε· διότι ποτὲ δὲν ἔφαγα τίποτε συγχαμένον καὶ ἀκάθαρτον.

15 Καὶ πάλιν δεύτερον τοῦ ἦλθε φωνὴ καὶ ἐλεγε· Ἐκεῖνα ὁποῦ ὁ Θεὸς ἐκαθάρισεν, ἐσὺ μὴν τὰ συγχαίνεσαι.

16 Καὶ τοῦτο ἔγινε τρεῖς φοραῖς· καὶ πάλιν ἀνελήφθη τὸ ἀγγεῖον ἐκεῖνο εἰς τὸν οὐρανόν.

17 Καὶ ἀπορώντας ὁ Πέτρος εἰς τὸ λόγον τὸ τί νὰ ἤθελε νἄσθαι τὸ ὅραμα ὁπού εἶδε, καὶ νὰ, οἱ ἄνδρες ὁπού ἦταν ἀπεσταλμένοι ἀπὸ τὸν Κορνήλιον, κατέρωτῶντες τὸ σπῆτι τοῦ Σιμῶνος, καὶ ἤλθαν εἰς τὴν θύραν·

18 Καὶ κράζοντες ἐρώτησαν ἀνίσως ὁ Σίμων ὁποῦ κράζεται Πέτρος εἶναι κοιμημένος ἐδῶ.

19 Καὶ ὁ Πέτρος ἐνθυμημένος τὸ ὅραμα, τοῦ εἶπε τὸ Πνεῦμα· Νὰ, τρεῖς ἄνδρες ὁποῦ σὲ ζητοῦσι·

20 Καὶ σήκω καὶ κατέβα, καὶ σύρε μετ' αὐτῶν, καὶ τίποτες νὰ μὴν ἀμφιβάλλῃς· διατὶ ἐγὼ τοὺς ἔστειλα.

21 Καὶ ἐκατέβη ὁ Πέτρος εἰς τοὺς ἄνδρας ὁποῦ ἦταν ἀπεσταλμένοι ἀπὸ τὸν Κορνήλιον εἰς αὐτὸν, καὶ εἶπεν· Νὰ, ἐγὼ

ζητεῖτε· τίς ἡ αἰτία δι' ἣν παρεγένεσθε;

22 Οἱ δὲ εἶπον· Κορνήλιος ἑκατοντάρχης, ἀνὴρ δίκαιος καὶ φοβούμενος τὸν Θεὸν μαρτυρούμενός τε ὑπὸ ὅλου τοῦ ἔθνους τῶν Ἰουδαίων, ἐχρηματίσθη ὑπὸ ἀγγέλου ἁγίου μεταπέμψασθαί σε εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἀκοῦσαι ῥήματα παρὰ σοῦ.

23 Εἰσκαλεσάμενος οὖν αὐτοὺς ἐξένισε. Τῇ δὲ ἐπαύριον ὁ Πέτρος ἐξῆλθε σὺν αὐτοῖς, καὶ τινες τῶν ἀδελφῶν τῶν ἀπὸ τῆς Ἰόππης συνῆλθον αὐτῷ·

24 Καὶ τῇ ἐπαύριον εἰσῆλθον εἰς τὴν Καισάρειαν· ὁ δὲ Κορνήλιος ἦν προσδοκῶν αὐτούς, συγκαλεσάμενος τοὺς συγγενεῖς αὐτοῦ καὶ τοὺς ἀναγκαίους φίλους.

25 Ὡς δὲ ἐγένετο εἰσελθεῖν τὸν Πέτρον, συναντήσας αὐτῷ ὁ Κορνήλιος, πεσὼν ἐπὶ τοὺς πόδας, προσεκύνησεν.

26 Ὁ δὲ Πέτρος αὐτὸν ἤγειρε, λέγων· Ἀνάστηθι· κἀγὼ αὐτὸς ἄνθρωπός εἰμι.

27 Καὶ συνομιλῶν αὐτῷ, εἰσῆλθε, καὶ εὑρίσκει συνεληλυθότας πολλούς.

εἶμαι ἐκεῖθεν ὅπου ζητᾶτε τί εἶναι ἡ ἀφορμὴ ὅπως ἔλθητε ἐδῶ;

22 Καὶ ἐκεῖνοι εἶπαν· Ὁ Κορνήλιος ὁ ἑκατόνταρχος, ἄνθρωπος δίκαιος καὶ φοβούμενος τὸν Θεόν, μαρτυρούμενος ἀπὸ ὅλον τὸ ἔθνος τῶν Ἰουδαίων, προσεκλήθη ἀπὸ τὸν Θεὸν διὰ μέσου ἑνὸς ἁγίου ἀγγέλου, νὰ σὲ προσκαλέσῃ εἰς τὸ σπίτι του, καὶ νὰ ἀκούσῃ λόγια ἀπὸ λόγου σου.

23 Ὁ Πέτρος λοιπὸν προσκαλώντας τους μέσα του; ἐκοιμήθη. Καὶ τὴν ἄλλην ἡμέραν ὁ Πέτρος ἐβγῆκε μαζύ μ' αὐτους, καὶ κάποιοι ἀπὸ τοὺς ἀδελφοὺς ὁπου ἦταν ἀπὸ τὴν Ἰόππην ἐπῆγαν μετ' αὐτόν.

24 Καὶ τὴν ἄλλην ἡμέραν ἐμβῆκαν εἰς τὴν Καισάρειαν· καὶ ὁ Κορνήλιος τοὺς ἐκαρτέρει, προσκαλεσάμενος ὁμοῦ τοὺς συγγενεῖς του καὶ τοὺς φίλους του τοὺς ἀναγκαίους.

25 Καὶ ὡσὰν ἐμβῆκε ὁ Πέτρος, τὸν ἐσυναπάντησεν ὁ Κορνήλιος, καὶ ἔπεσεν εἰς τὰ ποδάρια του, καὶ τὸν ἐπροσκύνησε.

26 Ἀμὴ ὁ Πέτρος τὸν ἐσήκωσε, καὶ εἶπε· Σήκω ἀπάνω· καὶ ἐγὼ ἄνθρωπος εἶμαι.

27 Καὶ συνομιλώντας μετ' αὐτὸν, ἐμβῆκε μέσα, καὶ εὗρε πολλοὺς συμμαζωμένους.

28 Ἔφη τε πρὸς αὐτούς· Ὑμεῖς ἐπίστασθε ὡς ἀθέμιτόν ἐστιν ἀνδρὶ Ἰουδαίῳ κολλᾶσθαι ἢ προσέρχεσθαι ἀλλοφύλῳ· καὶ ἐμοὶ ὁ Θεὸς ἔδειξε μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον.

29 Διὸ καὶ ἀναντιῤῥήτως ἦλθον μεταπεμφθείς. Πυνθάνομαι οὖν, τίνι λόγῳ μετεπέμψασθέ με;

30 Καὶ ὁ Κορνήλιος ἔφη· Ἀπὸ τετάρτης ἡμέρας μέχρι ταύτης τῆς ὥρας ἤμην νηστεύων, καὶ τὴν ἐνάτην ὥραν προσευχόμενος ἐν τῷ οἴκῳ μου· καὶ ἰδοὺ ἀνὴρ ἔστη ἐνώπιόν μου ἐν ἐσθῆτι λαμπρᾷ·

31 Καὶ φησί· Κορνήλιε, εἰσηκούσθη σου ἡ προσευχὴ, καὶ αἱ ἐλεημοσύναι σου ἐμνήσθησαν ἐνώπιον τοῦ Θεοῦ.

32 Πέμψον οὖν εἰς Ἰόππην, καὶ μετακάλεσαι Σίμωνα, ὃς ἐπικαλεῖται Πέτρος· οὗτος ξενίζεται ἐν οἰκίᾳ Σίμωνος βυρσέως παρὰ θάλασσαν· ὃς παραγενόμενος λαλήσει σοι.

33 Ἐξαυτῆς οὖν ἔπεμψα πρός σε· σὺ τε καλῶς ἐποίησας παραγενόμενος· νῦν οὖν πάντες

28 Καὶ τοὺς εἶπεν· Ἐσεῖς ἐξεύρετε καλὰ ὅτι εἶναι ἀπομία εἰς ἄνθρωπον Ἰουδαῖον νὰ συγκολλᾶται ἢ νὰ σμίγῃ μὲ ἀλλόφυλον ἄνθρωπον· ἄλλα ὁ Θεὸς μοῦ ἔδειξεν νὰ μὴν λέγω κανένα ἄνθρωπον συγχαστὸν ἢ ἀκάθαρτον.

29 Διὰ τοῦτο μὲ τὸ νὰ προσκαλισθῶ ἦλθα χωρὶς ἀντιλογίαν. Ἐρωτῶ σας λοιπὸν, διὰ ποῖον λογαριασμὸν μὲ ἐπροσκαλέσατε;

30 Καὶ ὁ Κορνήλιος εἶπεν· Ἀπὸ τεσσάρες ἡμέραις ἕως ἐτούτην τὴν ὥραν ἐνήστευα, καὶ τὴν ἐνάτην ὥραν ἐπροσευχόμουν εἰς τὸ σπίτι μου· καὶ νά, ἕνας ἄνθρωπος καλὸς ἐστάθη ἐμπροστά μου μὲ φόρεμα λαμπρόν·

31 Καὶ λέγει· Ὦ Κορνήλιε, ἡ προσευχή σου εἰσηκούσθη, καὶ αἱ ἐλεημοσύναι σου ἀνεθυμιάσθηκαν ὁμπροστὰ εἰς τὸν Θεόν.

32 Πέμψε λοιπὸν εἰς τὴν Ἰόππην, καὶ προσκάλεσε τὸν Σίμωνα, ὁ ὁποῖος κράζεται Πέτρος· οὗτος εἶναι κατοικίμενος εἰς σπίτι καποιου Σίμωνος γναφέως ὁποῦ εἶναι εἰς τὸ παραγιάλι· καὶ ἐκεῖνος ὁπου ἔλθῃ θέλει σου συντύχει.

33 Καὶ ἀπ' ἐκείνην τὴν ὥραν ἔπεμψα τους ἀνθρώπους εἰς σένα· καλὰ ἔκαμες καὶ ἦλθες

τες ἡμεῖς ἐνώπιον τοῦ Θεοῦ πάρεσμεν, ἀκοῦσαι πάντα τὰ προστεταγμένα σοι ὑπὸ τοῦ Θεοῦ.

34 Ἀνοίξας δὲ Πέτρος τὸ στόμα, εἶπεν· Ἐπ' ἀληθείας καταλαμβάνομαι ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεός·

35 Ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν, καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστι.

36 Τὸν λόγον ὃν ἀπέστειλε τοῖς υἱοῖς Ἰσραὴλ, εὐαγγελιζόμενος εἰρήνην διὰ Ἰησοῦ Χριστοῦ· οὗτός ἐστι πάντων Κύριος.

37 Ὑμεῖς οἴδατε τὸ γενόμενον ῥῆμα καθ' ὅλης τῆς Ἰουδαίας, ἀρξάμενον ἀπὸ τῆς Γαλιλαίας, μετὰ τὸ βάπτισμα ὃ ἐκήρυξεν Ἰωάννης·

38 Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲτ, ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς Πνεύματι ἁγίῳ καὶ δυνάμει, ὃς διῆλθεν εὐεργετῶν καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου, ὅτι ὁ Θεὸς ἦν μετ' αὐτοῦ.

39 Καὶ ἡμεῖς ἐσμεν μάρτυρες πάντων ὧν ἐποίησεν ἔν τε τῇ χώρᾳ τῶν Ἰουδαίων καὶ ἐν Ἱερουσαλὴμ· ὃν ἀνεῖλον κρεμάσαντες ἐπὶ ξύλου.

ὅπου ἤθελε· τώρα λοιπὸν ἡμεῖς εἴμεθα εὑρισκόμεθα ἐδῶ ὁμπρός εἰς τὸν Θεόν, νὰ ἀκούσωμεν ὅλα ἐκεῖνα ὁποὺ σὲ ἐπρόσταξεν ὁ Θεός.

34 Καὶ ὁ Πέτρος ἄνοιξε τὸ στόμα του, καὶ εἶπεν· Ἐπ' ἀληθείας γνωρίζω, ὅτι ὁ Θεὸς δὲν ἀποβλέπει εἰς πρόσωπα·

35 Ἀλλὰ εἰς κάθε ἔθνος ἐκεῖνος ὁποὺ τὸν φοβᾶται, καὶ κάμνει δικαιοσύνην, τὸν εἰδέγεται.

36 Κατὰ τὸν λόγον ὁποὺ ἔστειλε εἰς τοὺς υἱοὺς τοῦ Ἰσραὴλ εὐαγγελίζωνας εἰρήνην διὰ μέσου τοῦ Ἰησοῦ Χριστοῦ (οὗτος εἶναι Αὐθέντης ὅλων·)

37 Ἐσεῖς ἐξεύρετε τὸ πρᾶγμα ὁποὺ ἔγινε εἰς ὅλην τὴν Ἰουδαίαν, ἀρχίζοντας ἀπὸ τὴν Γαλιλαίαν, ὕστερα ἀπὸ τὸ βάπτισμα ὁποὺ ἐκήρυξεν ὁ Ἰωάννης·

38 Τὸν Ἰησοῦν ὁποὺ ἦτον ἀπὸ τὴν Ναζαρὲτ, πῶς τὸν ἔχρισεν ὁ Θεὸς μὲ Πνεῦμα ἅγιον καὶ μὲ δύναμιν, ὁ ὁποῖος ἐπέρασεν εὐεργετοῦντας καὶ ἰατρεύοντας ὅλους ἐκείνους ὁποὺ ἐτυραννοῦνταν ἀπὸ τὸν διάβολον, διατὶ ὁ Θεὸς ἦτον μετ' αὐτόν.

39 Καὶ ἐμεῖς εἴμεσθε μάρτυρες ὁλωνῶν τῶν πραγμάτων ὁποὺ ἔκαμεν, καὶ εἰς τὴν χώραν τῶν Ἰουδαίων καὶ εἰς τὴν Ἱερουσαλήμ· τὸν ὁποῖον ἐφόνευσαν κρεμάζοντάς τον εἰς τὸ ξύλον.

40 Τοῦτον ὁ Θεὸς ἤγειρε τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἔδωκεν αὐτὸν ἐμφανῆ γενέσθαι·

41 Οὐ παντὶ τῷ λαῷ, ἀλλὰ μάρτυσι τοῖς προκεχειροτονημένοις ὑπὸ τοῦ Θεοῦ, ἡμῖν, οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ μετὰ τὸ ἀναστῆναι αὐτὸν ἐκ

42 Καὶ παρήγγειλεν ἡμῖν κηρύξαι τῷ λαῷ, καὶ διαμαρτύρασθαι ὅτι αὐτός ἐστιν ὁ ὡρισμένος ὑπὸ τοῦ Θεοῦ κριτὴς ζώντων καὶ νεκρῶν.

43 Τούτῳ πάντες οἱ προφῆται μαρτυροῦσιν, ἄφεσιν ἁμαρτιῶν λαβεῖν διὰ τοῦ ὀνόματος αὐτοῦ πάντα τὸν πιστεύοντα εἰς αὐτόν.

44 Ἔτι λαλοῦντος τοῦ Πέτρου τὰ ῥήματα ταῦτα, ἐπέπεσε τὸ Πνεῦμα τὸ ἅγιον ἐπὶ πάντας τοὺς ἀκούοντας τὸν λόγον.

45 Καὶ ἐξέστησαν οἱ ἐκ περιτομῆς πιστοὶ ὅσοι συνῆλθον τῷ Πέτρῳ, ὅτι καὶ ἐπὶ τὰ ἔθνη ἡ δωρεὰ τοῦ ἁγίου Πνεύματος ἐκκέχυται·

46 Ἤκουον γὰρ αὐτῶν λαλούντων γλώσσαις, καὶ μεγαλυνόντων τὸν Θεόν. Τότε ἀπεκρίθη ὁ Πέτρος·

47 Μήτι τὸ ὕδωρ κωλῦσαί τινα δύναται τοῦ μὴ βαπτισθῆναι τούτους, οἵτινες τὸ Πνεῦμα τὸ ἅγιον ἔλαβον καθὼς καὶ

40 Τοῦτον ὁ Θεὸς τὸν ἀνέστησε τὴν τρίτην ἡμέραν, καὶ τὸν ἔκαμε νὰ φανερωθῇ·

41 Ὄχι εἰς ὅλον τὸν λαόν, ἀλλὰ εἰς ἡμᾶς ὁποὺ εἴμεσθαν μάρτυρες προτετυχειροτονημένοι ἀπὸ τὸν Θεόν, οἱ ὁποῖοι ἐμεῖς ἐσυνεφάγαμεν καὶ ἐσυνεπιάμεν μετ' αὐτόν, ὕστερα ἀφότου ἀνεστάθη ἐκ νεκρῶν.

42 Καὶ μᾶς ἐπαράγγειλε, νὰ κηρύξωμεν εἰς τὸν λαὸν καὶ νὰ μαρτυρήσωμεν, ὅτι αὐτὸς εἶναι διορισμένος ἀπὸ τὸν Θεὸν κριτὴς καὶ τῶν ζωντανῶν καὶ τῶν νεκρῶν.

43 Καὶ ὅλοι οἱ προφῆται ἐτοῦτο μαρτυροῦσιν, ὅτι κάθε ἕνας ὁποῦ πιστεύει εἰς αὐτὸν πέρνει τὴν ἄφεσιν τῶν ἁμαρτιῶν του διὰ τὸ ὄνομά του.

44 Καὶ ἀκόμι ὁ Πέτρος ἐλάλει ἐτοῦτα τὰ λόγια, καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἔπεσεν ἀπάνω εἰς ὅλες ἐκείνες ὁποῦ ἄκουαν τὸν λόγον.

45 Καὶ ὅσοι πιστοὶ ἀπὸ τοὺς Ἰουδαίους ἦλθαν μαζὺ μὲ τὸν Πέτρον, ἐστράφαξαν, ὅτι ἡ δωρεὰ τοῦ ἁγίου Πνεύματος ἐχύθηκε καὶ εἰς τὰ ἔθνη·

46 Διατὶ ἄκουαν αὐτοὺς ὁποῦ ἐλάλησαν γλώσσαις, καὶ ἐμεγάλυναν τὸν Θεόν. Τότε ἀπεκρίθη ὁ Πέτρος·

47 Μήνα ἠμπορεῖ κανένας νὰ ἐμποδίσῃ τὸ νερὸν νὰ μὴν βαπτισθοῦσιν ἐτοῦτοι, οἱ ὁποῖοι ἐλάβαν τὸ Πνεῦμα τὸ ἅγιον, ὡσὰν καὶ ἐμεῖς

48 Προσέταξέ τε αὐτὸς βαπτισθῆναι ἐν τῷ ὀνόματι τοῦ Κυρίου. Τότε ἠρώτησαν αὐτὸν ἐπιμεῖναι ἡμέρας τινάς.

48 Καὶ ἐπρόσταξε νὰ βαπτισθοῦν αὐτοὶ εἰς τὸ ὄνομα τοῦ Κυρίου. Τότε τὸν ἐπαρακάλεσαν, νὰ ἀπομείνῃ καμποσαις ἡμέραις.

Κεφ. ια'. 11.

1 Ἤκουσαν δὲ οἱ ἀπόστολοι καὶ οἱ ἀδελφοὶ οἱ ὄντες κατὰ τὴν Ἰουδαίαν, ὅτι καὶ τὰ ἔθνη ἐδέξαντο τὸν λόγον τοῦ Θεοῦ.

2 Καὶ ὅτε ἀνέβη Πέτρος εἰς Ἱεροσόλυμα, διεκρίνοντο πρὸς αὐτὸν οἱ ἐκ περιτομῆς,

3 Λέγοντες· Ὅτι πρὸς ἄνδρας ἀκροβυστίαν ἔχοντας εἰσῆλθες, καὶ συνέφαγες αὐτοῖς.

4 Ἀρξάμενος δὲ ὁ Πέτρος, ἐξετίθετο αὐτοῖς καθεξῆς, λέγων·

5 Ἐγὼ ἤμην ἐν πόλει Ἰόππῃ προσευχόμενος· καὶ εἶδον ἐν ἐκστάσει ὅραμα, καταβαῖνον σκεῦός τι ὡς ὀθόνην μεγάλην, τέσσαρσιν ἀρχαῖς καθιεμένην, ἐν τοῦ οὐρανοῦ, καὶ ἦλθεν ἄχρις ἐμοῦ·

6 Εἰς ἣν ἀτενίσας κατενόουν καὶ εἶδον τὰ τετράποδα τῆς γῆς, καὶ τὰ θηρία, καὶ τὰ ἑρπετὰ, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ.

1 Καὶ ἄκουσαν οἱ ἀπόστολοι καὶ οἱ ἀδελφοὶ ὁπού ἦταν εἰς τὴν Ἰουδαίαν, ὅτι καὶ τὰ ἔθνη ἐδέχθηκαν τὸν λόγον τοῦ Θεοῦ.

2 Καὶ ὅταν ὁ Πέτρος ἀνέβη εἰς τὰ Ἱεροσόλυμα, ἐφιλονικοῦσαν μετ' αὐτὸν ἐκεῖνοι ὁπού εἶχαν περιτομήν,

3 Καὶ ἔλεγαν· Ὅτι μὲ ἀνθρώπους ἐπῆγες ἐκεῖνοι ὁπού ἔχουν ἀκροβυστίαν ἐπῆγες, καὶ ἔφαγες μετ' αὐτούς.

4 Καὶ ὁ Πέτρος ἄρχισε, καὶ τοὺς ἐδίδασκε τὰ πράγματα κατὰ τάξιν, καὶ ἔλεγε·

5 Ἐγὼ ἤμουν εἰς τὴν πόλιν τὴν Ἰόππην καὶ ἐπροσευχόμουν· καὶ εἶδα εἰς τὴν ἔκστασίν μου ἕνα ὅραμα, ἕνα ἀγγεῖον ὡσὰν σινδόνι μεγάλον κρεμασμένον ἀπὸ τοῖς τέσσαρες ἄκραις, καὶ ἐκατέβαινεν ἀπὸ τὸν οὐρανὸν, καὶ ἦλθεν ἕως ἐμένα·

6 Εἰς τὸ ὁποῖον ἀνατράπισα καὶ ἐξοχάσθηκα· καὶ εἶδα ὅλα τὰ τετράποδα τῆς γῆς, καὶ τὰ θηρία, καὶ τὰ ἑρπετὰ, καὶ τὰ πετούμενα τοῦ οὐρανοῦ.

7 Ἤκουσα δὲ φωνῆς λεγούσης μοι· Ἀναστὰς, Πέτρε, θῦσον καὶ φάγε.

8 Εἶπον δέ· Μηδαμῶς, Κύριε· ὅτι πᾶν κοινὸν ἢ ἀκάθαρτον οὐδέποτε εἰσῆλθεν εἰς τὸ στόμα μου.

9 Ἀπεκρίθη δέ μοι φωνὴ ἐκ δευτέρου ἐκ τοῦ οὐρανοῦ· Ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου.

10 Τοῦτο δὲ ἐγένετο ἐπὶ τρὶς· καὶ πάλιν ἀνεσπάσθη ἅπαντα εἰς τὸν οὐρανόν.

11 Καὶ ἰδοὺ, ἐξαυτῆς τρεῖς ἄνδρες ἐπέστησαν ἐπὶ τὴν οἰκίαν ἐν ᾗ ἤμην, ἀπεσταλμένοι ἀπὸ Καισαρείας πρός με.

12 Εἶπε δέ μοι τὸ Πνεῦμα συνελθεῖν αὐτοῖς, μηδὲν διακρινόμενον· ἦλθον δὲ σὺν ἐμοὶ καὶ οἱ ἓξ ἀδελφοὶ οὗτοι, καὶ εἰσήλθομεν εἰς τὸν οἶκον τοῦ ἀνδρός.

13 Ἀπήγγειλε τε ἡμῖν πῶς εἶδε τὸν ἄγγελον ἐν τῷ οἴκῳ αὐτοῦ σταθέντα καὶ εἰπόντα αὐτῷ· Ἀπόστειλον εἰς Ἰόππην ἄνδρας καὶ μετάπεμψαι Σίμωνα τὸν ἐπικαλούμενον Πέτρον,

14 Ὃς λαλήσει ῥήματα πρός σε, ἐν οἷς σωθήσῃ σὺ

7 Καὶ ἄκουσα φωνὴν ὀπὲ μὲ ἔλεγεν· Ὦ Πέτρε, σήκω καὶ σφάξε καὶ φαγε.

8 Καὶ ἐγω εἶπα· Ὄχι, Αὐθέντη· ὅτι κανένα συγχαμένον ἢ ἀκάθαρτον ὐδὲ καμία φορα δεν ἐμβήκεν εἰς τὸ στόμα μου.

9 Καὶ μὲ ἀπεκρίθη μία φωνὴ δεύτερον ἀπὸ τὸν ερανόν· Ἐκεῖνα ὁπὲ ὁ Θεος ἐκαθάρισεν, ἐσυ μὴν τα συγχαινεσε.

10 Καὶ τῦτο ἔγινε τρεῖς φοραῖς· καὶ πάλιν ἐσυρθηκαν ὅλα εἰς τεν ερανον.

11 Καὶ νὰ, πάραυτα τρεῖς ἄνδρες καὶ ἤλθαν εἰς το σπητι ὁπὲ ἤμουν, απεσταλμένοι ἀπὸ την Καισαρειαν εἰς ἐμενα.

12 Καὶ τὸ Πνεῦμα μὲ εἶπε νὰ πάγω μετ αὐτες, καὶ νὰ μὴν ἀμφιβάλλω τίποτες· καὶ ἤλθαν μαζύ μὲ καὶ οἱ ἑξ ἑτῦτοι ἀδελφοὶ, καὶ ἐπήγαμεν καὶ ἐμβήκαμεν εἰς τὸ σπητι του ἀνθρώπυ ἐκείνυ.

13 Καὶ ἐκεῖνος μᾶς εἶπε πῶς εἶδε τὸν ἄγγελον εἰς τὸ σπητί τε ὅπυ ἐστάθη, καὶ του εἶπεν· Στεῖλε ἀνθρωπες εἰς την Ἰόππην, καὶ προσκάλεσε τὸν Σίμωνα, ὁπυ κράζεται Πέτρος,

14 Ὁ ὁποῖος θελει σὲ εἰπεῖ λόγια, διὰ μέσυ των

καὶ πᾶς ὁ οἶκός σου.

15 Ἐν δὲ τῷ ἄρξασθαί με λαλεῖν, ἐπέπεσε τὸ Πνεῦμα τὸ ἅγιον ἐπ᾽ αὐτοὺς, ὥσπερ καὶ ἐφ᾽ ἡμᾶς ἐν ἀρχῇ.

16 Ἐμνήσθην δὲ τοῦ ῥήματος Κυρίου, ὡς ἔλεγεν· Ἰωάννης μὲν ἐβάπτισε ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ.

17 Εἰ οὖν τὴν ἴσην δωρεὰν ἔδωκεν αὐτοῖς ὁ Θεὸς ὡς καὶ ἡμῖν, πιστεύσασιν ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστὸν, ἐγὼ δὲ τίς ἤμην δυνατὸς κωλῦσαι τὸν Θεόν;

18 Ἀκούσαντες δὲ ταῦτα ἡσύχασαν, καὶ ἐδόξαζον τὸν Θεὸν, λέγοντες· Ἄρα γε καὶ τοῖς ἔθνεσιν ὁ Θεὸς τὴν μετάνοιαν ἔδωκεν εἰς ζωήν.

19 Οἱ μὲν οὖν διασπαρέντες ἀπὸ τῆς θλίψεως τῆς γενομένης ἐπὶ Στεφάνῳ, διῆλθον ἕως Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας, μηδενὶ λαλοῦντες τὸν λόγον εἰ μὴ μόνον Ἰουδαίοις.

20 Ἦσαν δέ τινες ἐξ αὐτῶν ἄνδρες Κύπριοι καὶ Κυρηναῖοι, οἵτινες εἰσελθόντες εἰς Ἀντιόχειαν, ἐλάλουν πρὸς τοὺς Ἕλληνιστὰς, εὐαγγελιζόμενοι τὸν Κύριον Ἰησοῦν.

ὁποίων θέλεις σωθῇ ἐσὺ καὶ ὅλον σου τὸ σπίτι.

15 Καὶ ἐκεῖ ὁπού ἀρχισα ἐγὼ νὰ τοὺς λαλῶ, ἔπεσεν ἀπάνω τους τὸ Πνεῦμα τὸ ἅγιον, ὡσὰν ἔπεσε καὶ εἰς ἡμᾶς εἰς τὴν ἀρχήν.

16 Καὶ ἐθυμήθηκα τὸν λόγον τοῦ Κυρίου, ὁπού ἔλεγεν· Ὅτι ὁ Ἰωάννης μὲν ἐβάπτισε μὲ νερό, ἀμὴ ἐσεῖς θέλετε βαπτισθῆ μὲ Πνεῦμα ἅγιον.

17 Ἐπειδὴ λοιπὸν καὶ ὁ Θεὸς αὐτοὺς ὁπού ἐπίστευσαν εἰς τὸν Κύριον Ἰησοῦν Χριστὸν, τοὺς ἔδωκε τὴν ἰσιαν χαρὶν ὡσὰν καὶ ἐμᾶς, ἐγὼ τί ἤσουν δυνατὸς νὰ ἐμποδίσω τὸν Θεόν;

18 Ὡσὰν ἄκουσαν ἐτοῦτα ἡσύχασαν, καὶ ἐδόξαζαν τὸν Θεὸν, καὶ ἔλεγαν· Ὁ Θεὸς λοιπὸν καὶ εἰς τὰ ἔθνη ἔδωκε μετάνοιαν εἰς ζωήν.

19 Ἐκεῖνοι λοιπὸν ὁπού ἐσκορπίσθηκαν διὰ τὴν θλῖψιν ὁπού ἐγίνεν εἰς τὸν Στέφανον, ἐπέρασαν ἕως τὴν Φοινίκην καὶ Κύπρον καὶ Ἀντιόχειαν, καὶ δὲν ἐλάλησαν εἰς κανένα τὸν λόγον τοῦ Κυρίου, παρὰ μοναχὰ εἰς τοὺς Ἰουδαίους.

20 Καὶ κάποιοι ἄνδρες ἀπ᾽ αὐτοὺς ἦταν Κύπριοι καὶ Κυρηναῖοι, οἱ ὁποῖοι ὡσὰν ἐμβῆκαν εἰς τὴν Ἀντιόχειαν, ἐλάλησαν εἰς τοὺς Ἑλληνιστὰς, καὶ εὐαγγελίζαν τὸν Κύριον Ἰησοῦν.

21 Καὶ ἦν χεὶρ Κυρίου μετ' αὐτῶν· πολύς τε ἀριθμὸς πιστεύσας ἐπέστρεψεν ἐπὶ τὸν Κύριον.

22 Ἠκούσθη δὲ ὁ λόγος εἰς τὰ ὦτα τῆς ἐκκλησίας τῆς ἐν Ἱερουσαλήμ περὶ αὐτῶν· καὶ ἐξαπέστειλαν Βαρνάβαν διελθεῖν ἕως Ἀντιοχείας.

23 Ὃς παραγενόμενος, καὶ ἰδὼν τὴν χάριν τοῦ Θεοῦ, ἐχάρη, καὶ παρεκάλει πάντας τῇ προθέσει τῆς καρδίας προσμένειν τῷ Κυρίῳ·

24 Ὅτι ἦν ἀνὴρ ἀγαθὸς καὶ πλήρης Πνεύματος ἁγίου καὶ πίστεως· καὶ προσετέθη ὄχλος ἱκανὸς τῷ Κυρίῳ.

25 Ἐξῆλθε δὲ εἰς Ταρσὸν ὁ Βαρνάβας ἀναζητῆσαι Σαῦλον· καὶ εὑρὼν αὐτὸν ἤγαγεν αὐτὸν εἰς Ἀντιόχειαν.

26 Ἐγένετο δὲ αὐτοὺς ἐνιαυτὸν ὅλον συναχθῆναι ἐν τῇ ἐκκλησίᾳ, καὶ διδάξαι ὄχλον ἱκανόν, χρηματίσαι τε πρῶτον ἐν Ἀντιοχείᾳ τοὺς μαθητὰς Χριστιανούς.

27 Ἐν ταύταις δὲ ταῖς ἡμέραις κατῆλθον ἀπὸ Ἱερουσολύμων προφῆται εἰς Ἀντιόχειαν.

28 Ἀναστὰς δὲ εἷς ἐξ αὐτῶν ὀνόματι Ἀγαβος, ἐσήμανε διὰ

21 Καὶ το χέρι του Κυρίου ἦτον μετ' αὐτῶν· καὶ πολὺς ἀριθμὸς (ἀνθρώπων) ἐπίστευσε καὶ ἐγύρισεν εἰς τὸν Κύριον.

22 Καὶ ἡ φήμη τους ἀκούσθη εἰς τὰ αὐτία τῆς ἐκκλησίας ὁπού ἦταν εἰς τὴν Ἱερουσαλήμ· καὶ ἐστείλαν τὸν Βαρνάβαν νὰ ἐλθῇ ἕως εἰς τὴν Ἀντιόχειαν.

23 Ὁ ὁποῖος ὡσὰν ἐπῆγε, καὶ εἶδε τὴν χάριν τοῦ Θεοῦ, ἐχάρη, καὶ ἐπαρακάλει ὅλους νὰ στέκουνται γερὰ εἰς τὸν Κύριον μὲ τὴν ὀρεξιν τῆς καρδίας τους·

24 Διατὶ ἦτον ἄνθρωπος ἀγαθὸς καὶ γεμάτος Πνεῦμα ἅγιον καὶ πίστιν· καὶ πολὺ πλῆθος ἀνθρώπων ἐπροστέθη εἰς τὸν Κύριον.

25 Καὶ ὁ Βαρνάβας ἐνυγῆκε καὶ ἐπῆγεν εἰς τὴν Ταρσὸν νὰ ἀναγυρέψῃ τὸν Σαῦλον· καὶ ὡσὰν τὸν ηὗρεν τὸν ἔφερεν εἰς τὴν Ἀντιόχειαν.

26 Καὶ ἔναν χρόνον σωτὸν ἐσυνάζουνταν αὐτοὶ εἰς τὴν ἐκκλησίαν, καὶ ἐδίδαξαν πλῆθος πολύ, καὶ πρωτον εἰς τὴν Ἀντιόχειαν οἱ μαθηταὶ ὠνομάσθηκαν Χριστιανοί.

27 Καὶ εἰς ἐκείναις ταῖς ἡμεραις ἐκατέβηκαν ἀπὸ τὰ Ἱεροσολυμα προφῆται εἰς τὴν Ἀντιόχειαν.

28 Καὶ ἐσηκώθη ἕνας ἀπ' αὐτουνους τὸ ὀνομά του Ἀγα-

τοῦ Πνεύματος, λιμὸν μέγαν μέλλειν ἔσεσθαι ἐφ' ὅλην τὴν οἰκουμένην· ὅστις καὶ ἐγένετο ἐπὶ Κλαυδίου Καίσαρος.

29 Τῶν δὲ μαθητῶν, καθὼς ηὐπορεῖτό τις, ὥρισαν ἕκαστος αὐτῶν εἰς διακονίαν πέμψαι τοῖς κατοικοῦσιν ἐν τῇ Ἰουδαίᾳ ἀδελφοῖς·

30 Ὃ καὶ ἐποίησαν, ἀπεστείλαντες πρὸς τοὺς πρεσβυτέρους διὰ χειρὸς Βαρνάβα καὶ Σαύλου.

ους, καὶ ἐφανέρωσε διὰ τοῦ Πνεύματος, πῶς μέλλει νὰ γένῃ μεγάλη πεῖνα εἰς ὅλην τὴν οἰκουμένην· ἡ ὁποία καὶ ἔγινε εἰς τὸν καιρὸν τοῦ Κλαυδίου τοῦ Καίσαρος.

29 Καὶ κάθε ἕνας ἀπὸ τοὺς μαθητάδες ὥρισαν, καθὼς ἠμπόριεν κάθε ἕνας νὰ πέμψουσι διακονίαν εἰς τοὺς ἀδελφοὺς ὁποῦ ἐκάθουνται εἰς τὴν Ἰουδαίαν·

30 Τὸ ὁποῖον τὸ ἔκαμαν, ἀποστέλλοντες τὴν εἰς τοὺς πρεσβυτέρους διὰ μέσου τῶν χερῶν τοῦ Βαρνάβα καὶ τοῦ Σαύλου.

Κεφ. ιβ'. 12.

ΚΑΤ' ἐκεῖνον δὲ τὸν καιρὸν ἐπέβαλεν Ἡρῴδης ὁ βασιλεὺς τὰς χεῖρας κακῶσαί τινας τῶν ἀπὸ τῆς ἐκκλησίας.

2 Ἀνεῖλε δὲ Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου, μαχαίρᾳ.

3 Καὶ ἰδὼν ὅτι ἀρεστόν ἐστι τοῖς Ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ Πέτρον· (ἦσαν δὲ ἡμέραι τῶν ἀζύμων·)

4 Ὃν καὶ πιάσας ἔθετο εἰς φυλακήν, παραδοὺς τέσσαρσι τετραδίοις στρατιωτῶν φυλάσσειν αὐτόν· βουλόμενος μετὰ

ΓΙΣ ἐκεῖνον τὸν καιρὸν ἔβαλλε τὰ χεριά του ὁ Ἡρῴδης ὁ βασιλεὺς νὰ κακοποιήσῃ μερικοὺς τῶν ἐκκλησιαστικῶν.

2 Καὶ ἐφόνευσε τὸν Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Ἰωάννου μὲ σπαθί.

3 Καὶ ὡσὰν εἶδεν ὅτι ἐτοῦτο ἀρέσει εἰς τοὺς Ἰουδαίους, ἐπρόσθεσε καὶ τοῦτο νὰ πιάσῃ καὶ τὸν Πέτρον· (καὶ ἦλθαν καὶ ἦταν ἡμέραις τῶν ἀζύμων·)

4 Τὸν ὁποῖον ὡσὰν τὸν ἐπιασε τὸν ἔβαλλεν εἰς τὴν φυλακήν, παραδίδοντας τὸν εἰς δεκαὲξι στρατιώτας νὰ τὸν φυλα

τὸ πάσχα ἀπαγαγεῖν αὐτὸν τῷ λαῷ.

5 Ὁ μὲν οὖν Πέτρος ἐτηρεῖτο ἐν τῇ φυλακῇ· προσευχὴ δὲ ἦν ἐκτενὴς γινομένη ὑπὸ τῆς ἐκκλησίας πρὸς τὸν Θεὸν ὑπὲρ αὐτοῦ.

6 Ὅτε δὲ ἤμελλεν αὐτὸν προάγειν ὁ Ἡρῴδης, τῇ νυκτὶ ἐκείνῃ ἦν ὁ Πέτρος κοιμώμενος μεταξὺ δύο στρατιωτῶν, δεδεμένος ἁλύσεσι δυσί, φύλακές τε πρὸ τῆς θύρας ἐτήρουν τὴν φυλακήν.

7 Καὶ ἰδοὺ, ἄγγελος Κυρίου ἐπέστη, καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι· πατάξας δὲ τὴν πλευρὰν τοῦ Πέτρου, ἤγειρεν αὐτὸν, λέγων· Ἀνάστα ἐν ταχει. Καὶ ἐξέπεσαν αὐτοῦ αἱ ἁλύσεις ἐκ τῶν χειρῶν.

8 Εἶπέ τε ὁ ἄγγελος πρὸς αὐτόν· Περίζωσαι, καὶ ὑπόδησαι τὰ σανδάλιά σου. Ἐποίησε δὲ οὕτω. Καὶ λέγει αὐτῷ· Περιβαλοῦ τὸ ἱμάτιόν σου, καὶ ἀκολούθει μοι.

9 Καὶ ἐξελθὼν ἠκολούθει αὐτῷ, καὶ οὐκ ἤδει ὅτι ἀληθὲς ἐστὶ τὸ γινόμενον διὰ τοῦ ἀγγέλου· ἐδόκει δὲ ὅραμα βλέπειν.

10 Διελθόντες δὲ πρώτην φυλακὴν καὶ δευτέραν, ἦλθον

γῆν· θέλωντας ὑγιᾶ ἀπὸ τὸ πάσχα τὰ τοῦ φέρη ἐξῶ τῆς τοῦ λαοῦ.

5 Ὁ Πέτρος λειτὸν ἐφυλαττετον εἰς τὴν φυλακὴν· καὶ ἡ ἐκκλησια ἐπροσευχιτον κατα πολλὰ πάντοτε εἰς τὸν Θεὸν διὰ λόγου τυ.

6 Καὶ ὁπόταν ὁ Ἡρῴδης ἐμιλλε ια τὸν ὑπαγῆ εἰς τὸν λαον, τὴν νύκτα ἐκείνην ὁ Πετρος ἐκοιματον ἀναμεσα εἰς δυο στρατιωταις, δεμενος μὲ δύο ἁλυσίδες, καὶ ἐφυλαγαν καὶ φυλακάτορες ὀμπροσα εἰς τὴν θύραν της φυλακης.

7 Καὶ ια, καὶ ἦλθεν ἀγγελος Κυριυ, καὶ φῶς ἔλαμψε ἐκεῖ ὁπὺ ἐκάθετον, καὶ ἐκτύπησε τὴν πλευραν τοῦ Πέτρυ, καὶ τὸν ἔσηκωσε, καὶ εἶπε· Σῆκω γλίγωρα. Καὶ αἱ ἁλυσίδες ἔπεσαν ἀπο τα χεριά τυ.

8 Καὶ εἶπεν τυ ὁ ἀγγελος· Ζώσε καὶ βάλλι τὰ σανδάλιά συ. Καὶ ἐκαμεν ἔτζι. Καὶ λέγει τυ· Βάλλε τὸ ἀπανωφόρεμά συ, καὶ ἀκολούθα μυ.

9 Καὶ εἰγῆκεν ἔξω καὶ τοῦ ἀκολούθαε, καὶ δὲν ἐγνώριζε ὅτι εἶσαι ἀληθινὸν ἐκεῖνον ὁπὺ ἐγινετον ἀπὸ τὸν ἄγγελον· ἀλλα τοῦ ἐφαίνετον νὰ βλέπη ὅραμα.

10 Καὶ ὡσὰν ἐπέρασαν τὴν πρωτὴν φυλαξὶν καὶ τὴν δευ-

ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν, τὴν φέρουσαν εἰς τὴν πόλιν, ἥτις αὐτομάτη ἠνοίχθη αὐτοῖς· καὶ ἐξελθόντες προῆλθον ῥύμην μίαν· καὶ εὐθέως ἀπέστη ὁ ἄγγελος ἀπ' αὐτοῦ.

11 Καὶ ὁ Πέτρος γενόμενος ἐν ἑαυτῷ, εἶπε· Νῦν οἶδα ἀληθῶς ὅτι ἐξαπέστειλε Κύριος τὸν ἄγγελον αὐτοῦ, καὶ ἐξείλετό με ἐκ χειρὸς Ἡρῴδου, καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων.

12 Συνιδών τε ἦλθεν ἐπὶ τὴν οἰκίαν Μαρίας τῆς μητρὸς Ἰωάννου, τοῦ ἐπικαλουμένου Μάρκου, οὗ ἦσαν ἱκανοὶ συνηθροισμένοι καὶ προσευχόμενοι.

13 Κρούσαντος δὲ τοῦ Πέτρου τὴν θύραν τοῦ πυλῶνος, προσῆλθε παιδίσκη ὑπακοῦσαι, ὀνόματι Ῥόδη·

14 Καὶ ἐπιγνοῦσα τὴν φωνὴν τοῦ Πέτρου, ἀπὸ τῆς χαρᾶς οὐκ ἤνοιξε τὸν πυλῶνα, εἰσδραμοῦσα δὲ ἀπήγγειλεν ἑστάναι τὸν Πέτρον πρὸ τοῦ πυλῶνος.

15 Οἱ δὲ πρὸς αὐτὴν εἶπον· Μαίνῃ. Ἡ δὲ διϊσχυρίζετο τιεγε, ἐφθασαν εἰς τὴν θύραν τῆς σιδηρίνης, ὅπου πάγει εἰς τὴν πόλιν, ἡ ὁποία μοναχὴ της τοὺς ἀνοίχθη· καὶ ὡσὰν ἐβγῆκαν ἐπῆγαν ὁμπρὸς εἰς μίαν ῥύμην· καὶ παραυθὺς ὁ ἄγγελος ἐδιβη ἀπ' αὐτόν.

11 Καὶ ὁ Πέτρος ὡσὰν ἐσυνάφθη, εἶπε· Τῶρα ἐξεύρω ἀληθινὰ, ὅτι ὁ Κύριος ἐξαπέστειλε τὸν ἄγγελόν του, καὶ μὲ ἐλευθέρωσεν ἀπὸ τὰ χέρια τοῦ Ἡρῴδου, καὶ ἀπὸ ὅλην τὴν ἐλπίδα τοῦ λαοῦ τῶν Ἰουδαίων.

12 Καὶ ὡσὰν ἐγνώρισεν, ἦλθεν εἰς τὸ σπῆτι τῆς Μαρίας, τῆς μάνας τοῦ Ἰωάννου, ὁ ὁποῖος ἐκράζετον Μάρκος, ἐκεῖ ὁπού ἦταν καὶ ἀρκετοὶ ἀδιλφοὶ μαζωμένοι καὶ ἐπροσευχούνταν.

13 Καὶ ὡσὰν ἐκτύπησεν ὁ Πέτρος τὴν θύραν τοῦ προαυλίου, ἐπῆγε μία κοπέλα, τὸ ὁποῖον ἡ ὀμορφά της Ῥόδη, νὰ ἀφκασθῇ τίς εἶναι·

14 Καὶ γνωρίζοντας τὴν φωνὴν τοῦ Πέτρου, ἀπὸ τὴν χαρά της δὲν ἄνοιξε τὸ προαύλιον, ἀμὴ ἐδραμε μέσα καὶ εἶπε πῶς γέκεται ὁ Πέτρος ὁμπρὸς εἰς τὸ προαύλιον.

15 Καὶ ἐκεῖνοι της εἶπαν· Λωλὴ εἶσαι. Καὶ ἐκείνη τὸ

ντως ἴχει. Οἱ δὲ ἔλεγον· Ὁ ἄγγελός ἐστιν.

16 Ὁ δὲ Πέτρος ἐπέμενε κρούων· ἀνοίξαντες δὲ εἶδον αὐτόν, καὶ ἐξέστησαν.

17 Κατασείσας δὲ αὐτοῖς τῇ χειρὶ σιγᾶν, διηγήσατο αὐτοῖς πῶς ὁ Κύριος αὐτὸν ἐξήγαγεν ἐκ τῆς φυλακῆς· εἶπε δέ· Ἀπαγγείλατε Ἰακώβῳ καὶ τοῖς ἀδελφοῖς ταῦτα. Καὶ ἐξελθὼν ἐπορεύθη εἰς ἕτερον τόπον.

18 Γενομένης δὲ ἡμέρας ἦν τάραχος οὐκ ὀλίγος ἐν τοῖς στρατιώταις, τί ἄρα ὁ Πέτρος ἐγένετο

19 Ἡρῴδης δὲ ἐπιζητήσας αὐτὸν, καὶ μὴ εὑρών, ἀνακρίνας τοὺς φύλακας, ἐκέλευσεν ἀπαχθῆναι· καὶ κατελθὼν ἀπὸ τῆς Ἰουδαίας εἰς τὴν Καισάρειαν, διέτριβεν.

20 Ἦν δὲ ὁ Ἡρῴδης θυμομαχῶν Τυρίοις καὶ Σιδωνίοις· ὁμοθυμαδὸν δὲ παρῆσαν πρὸς αὐτὸν, καὶ πείσαντες Βλάστον τὸν ἐπὶ τοῦ κοιτῶνος τοῦ βασιλέως, ἠτοῦντο εἰρήνην· διὰ τὸ τρέφεσθαι αὐτῶν τὴν χώραν ἀπὸ τῆς βασιλικῆς.

21 Ταύτῃ δὲ τῇ ἡμέρᾳ ὁ

ἐβεβαίωνε πῶς νὰ εἶναι τοιούτους λόγους. Καὶ ἐκεῖνοι ἔλεγαν· Ὁ ἄγγελός του εἶναι.

16 Καὶ ὁ Πέτρος ἐξέκειτο καὶ ἔκτυπα· καὶ ὡσὰν ἄνοιξαν καὶ τὸν εἶδαν, ἐξεπλάγησαν.

17 Καὶ μὲ τὸ χέρι του τοὺς ἔσεισε νὰ σιωπήσουν, καὶ τοὺς διηγήθη πῶς ὁ Κύριος τὸν ἐβγαλεν ἀπὸ τὴν φυλακὴν· καὶ τοὺς εἶπεν· Εἴπετε ἔτσι εἰς τὸν Ἰάκωβον καὶ εἰς τοὺς ἀδελφούς. Καὶ ἐβγῆκεν ἔξω καὶ ἐδιάβη εἰς ἄλλον τόπον.

18 Καὶ ὡσὰν ἐξημέρωσεν ἐγίνη μεγάλη σύγχυσις εἰς τοὺς στρατιώτας, τί, τί νὰ ἐγίνη ὁ Πέτρος.

19 Καὶ ὁ Ἡρῴδης τὸν ἐζήτησε, καὶ ὡσὰν δὲν τὸν εὗρε, ἐξήτασε τοὺς φυλακάτορας, καὶ ἐπρόσταξε νὰ πᾶσιν νὰ τοὺς χαλάσουν· καὶ αὐτὸς ὁ Ἡρῴδης καταβαίνωντας ἀπὸ τὴν Ἰουδαίαν εἰς τὴν Καισάρειαν, διέτριβεν ἐκεῖ.

20 Καὶ ὁ Ἡρῴδης ἦτον ἐχθραιμένος εἰς τοὺς Τυρίους καὶ Σιδωνίους· καὶ ἐκεῖνοι ἦλθαν συμφωνημένοι εἰς αὐτὸν, καὶ μὲ τὸ νὰ καταπείσουν τὸν Βλάστον τὸν κεββατοφύλακα τοῦ βασιλέως, ἐζήτησαν εἰρήνην· διατὶ ἡ χώρα τους ἐθρέφετον ἀπὸ τὴν βασιλικὴν (χώραν.)

21 Καὶ τὴν διατεταγμένην

Ηρῳδης ιδυσάμενος ἱσθῆτα βασιλικὴν, καὶ καθίσας ἐπὶ τοῦ βήματος, ἐδημηγόρει πρὸς αὐτούς.

22 Ὁ δὲ δῆμος ἐπεφώνει· Θεοῦ φωνὴ, καὶ οὐκ ἀνθρώπου.

23 Παραχρῆμα δὲ ἐπάταξεν αὐτὸν ἄγγελος Κυρίου, ἀνθ' ὧν οὐκ ἔδωκε τὴν δόξαν τῷ Θεῷ· καὶ γενόμενος σκωληκόβρωτος ἐξέψυξεν.

24 Ὁ δὲ λόγος τοῦ Θεοῦ ηὔξανε καὶ ἐπληθύνετο.

25 Βαρνάβας δὲ καὶ Σαῦλος ὑπέστρεψαν ἐξ Ἰερουσαλὴμ, πληρώσαντες τὴν διακονίαν, συμπαραλαβόντες καὶ Ἰωάννην τὸν ἐπικληθέντα Μάρκον.

ἡμέραν ὁ Ηρῴδης ἐνδυμένος τὸ βασιλικὸν φόρεμα ἐκάθισεν ἐπὶ τὸν θρόνον του, καὶ τοὺς ἐδίδασκε.

22 Καὶ ὁ λαὸς ἐφώναζε· Θεοῦ φωνὴ, καὶ οὐχὶ ἀνθρώπου.

23 Καὶ παρευθὺς τὸν ἐκτύπησεν ἄγγελος Κυρίου, διατὶ δὲν ἔδωκε τὴν δόξαν εἰς τὸν Θεόν· καὶ γενόμενος νὰ σκωληκοφαγωθῇ ἐξεψύχησε.

24 Καὶ ὁ λόγος τοῦ Θεοῦ ηὔξανε καὶ ἐπληθύνετο.

25 Καὶ ὁ Βαρνάβας καὶ ὁ Σαῦλος τελειώνοντες τὴν ὑπηρεσίαν τοὺς ἐγύρισαν ἀπὸ τὴν Ἰερουσαλήμ, (εἶχαν τὸν Λουκᾶν,) καὶ ἐπῆραν μαζύ των καὶ τὸν Ἰωάννην ὁποὺ ἐκράζετον Μάρκον.

Κεφ. ιγ'. 13.

Ἦσαν δέ τινες ἐν Ἀντιοχείᾳ κατὰ τὴν οὖσαν ἐκκλησίαν προφῆται καὶ διδάσκαλοι, ὅ τε Βαρνάβας καὶ Συμεὼν ὁ καλούμενος Νίγερ, καὶ Λούκιος ὁ Κυρηναῖος, Μαναὴν τε Ἡρῴδου τοῦ τετράρχου σύντροφος, καὶ Σαῦλος.

2 Λειτουργούντων δὲ αὐτῶν τῷ Κυρίῳ καὶ νηστευόντων, εἶπε τὸ Πνεῦμα τὸ ἅγιον· Ἀφορίσατέ μοι τὸν τε Βαρ-

Καὶ εἰς τὴν ἐκκλησίαν ὁποὺ ἦτον εἰς τὴν Ἀντιόχειαν, ἦταν κάποιοι προφῆται καὶ διδάσκαλοι, ὁ Βαρνάβας καὶ ὁ Συμεὼν ὁποὺ ἐκράζετο Νίγερ, καὶ ὁ Λούκιος ὁποὺ ἦτον ἀπὸ τὴν Κυρήνην, καὶ ὁ Μαναὴν ὁ σύντροφος τοῦ Ηρῴδου τοῦ τετράρχου, καὶ ὁ Σαῦλος.

2 Καὶ ὡσὰν ὑπηρέτησαν ἐκεῖνοι τὸν Κύριον καὶ ἐνήστευαν, εἶπε τὸ Πνεῦμα τὸ ἅγιον. Χωρίσετέ μου τὸν Βαρνάβαν καὶ τὸν

φάβαν και τὸν Σαυλον εἰς το ἔργον ὁ προσκέκλημαι αὐτους.

3 Τότε νηστευσαντες και προσευξάμενοι, και ἐπιθέντες τας χεῖρας αὐτοῖς, ἀπέλυσαν.

4 Οὗτοι μεν οὖν ἐκπεμφθέντες ὑπὸ τοῦ Πνευματος τοῦ ἁγιου, κατηλθον εἰς την Σελεύκειαν, ἐκειθέν τε ἀπέπλευσαν εἰς την Κυπρον.

5 Και γενόμενοι ἐν Σαλαμῖνι, κατηγγελλον τον λογον τοῦ Θεου ἐν ταῖς συναγωγαῖς των Ἰουδαίων· εἰχον δὲ και Ἰωαννην ὑπηρετην.

6 Διελθόντες δὲ την νῆσον ἄχρι Πάφου, εὗρόν τινα μάγον ψευδοπροφητην Ἰουδαῖον, ᾧ ὄνομα Βαριησοῦς,

7 Ὃς ἦν συν τῳ ἀνθυπάτῳ Σεργιῳ Παυλῳ, ἀνδρὶ συνετῳ· οὗτος προσκαλεσάμενος Βαρνάβαν και Σαυλον, ἐπεζήτησεν ἀκουσαι τον λόγον τοῦ Θεου.

8 Ἀνθίστατο δὲ αὐτοῖς Ἐλυμας ὁ μαγος (οὕτω γαρ μεθερμηνεύεται τὸ ὄνομα αὐτοῦ) ζητων διαστρεψαι τον ἀνθυπατον ἀπὸ της πίστεως.

9 Σαυλος δὲ (ὁ και Παυλος) πλησθεὶς Πνευματος

Σαυλον, εἰς την ὑπηρεσίαν ὅπερ τους ἐκαλεσα.

3 Τότε νηστεύσαντες καὶ προσευξάμενοι καὶ ἐπιθέντες τὰς χεῖρας αὐτοῖς ἀπέλυσαν.

4 Οὗτοι μὲν οὖν ἐκπεμφθέντες ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου κατῆλθον εἰς τὴν Σελεύκειαν, καὶ ἀπ' ἐκεῖ ἔπλευσαν εἰς τὴν Κύπρον.

5 Καὶ ὡσὰν ἐφθασαν εἰς την Σαλαμῖνα, ἐδίδασκαν τὸν λόγον τοῦ Θεοῦ εἰς τὰ συναγωγια των Ἰουδαίων· καὶ εἶχαν καὶ τὸν Ἰωάννην ὑπηρέτην.

6 Καὶ ὡσὰν ἐπέρασαν τὸ νησι ἕως την Πάφον, εὗραν ἐκεῖ κάποιον μάγον ψευδοπροφητην Ἰουδαῖον, τὸ ὄνομά του Βαριησοῦν,

7 Ὁ ὁποῖος ἦτον μαζὺ μὲ τὸν Σεργιον Παυλον τὸν ἀνθυπατον, ὁ ὁποῖος ἦτον ἄνθρωπος φρόνιμος· ἐκεῖνος ἐπροσκάλεσε τον Βαρνάβαν καὶ τὸν Σαυλον, καὶ ἐζήτησε νὰ ἀκούσῃ τὸν λογον του Θεου.

8 Ἀμὴ τους ἐναντιεῖτον ὁ Ἐλυμας ἤγουν ὁ μάγος (διατι τοιουτος λογος ἑρμηνεύεται τὸ ὄνομά του) ζητῶντας νὰ γυρίσῃ τον ἀνθύπατον ἀπὸ την πίστιν.

9 Καὶ ὁ Σαυλος (ὁποὺ ὠνομάσθη Παῦλος) ἐγέμισε

ἁγίᾳ, καὶ ἀτενίσας εἰς αὐτὸν,

10 Εἶπεν· Ὦ πλήρης παντὸς δόλου καὶ πάσης ῥαδιουργίας, υἱὲ διαβόλου, ἐχθρὲ πάσης δικαιοσύνης, οὐ παύσῃ διαστρέφων τὰς ὁδοὺς Κυρίου τὰς εὐθείας;

11 Καὶ νῦν ἰδοὺ, χεὶρ τοῦ Κυρίου ἐπὶ σὲ, καὶ ἔσῃ τυφλὸς μὴ βλέπων τὸν ἥλιον ἄχρι καιροῦ· Παραχρῆμα δὲ ἔπεσεν ἐπ' αὐτὸν ἀχλὺς καὶ σκότος· καὶ περιάγων ἐζήτει χειραγωγούς.

12 Τότε ἰδὼν ὁ ἀνθύπατος τὸ γεγονὸς, ἐπίστευσε, ἐκπλησσόμενος ἐπὶ τῇ διδαχῇ τοῦ Κυρίου.

13 Ἀναχθέντες δὲ ἀπὸ τῆς Πάφου οἱ περὶ τὸν Παῦλον, ἦλθον εἰς Πέργην τῆς Παμφυλίας· Ἰωάννης δὲ ἀποχωρήσας ἀπ' αὐτῶν, ὑπέστρεψεν εἰς Ἱεροσόλυμα.

14 Αὐτοὶ δὲ διελθόντες ἀπὸ τῆς Πέργης, παρεγένοντο εἰς Ἀντιόχειαν τῆς Πισιδίας, καὶ εἰσελθόντες εἰς τὴν συναγωγὴν τῇ ἡμέρᾳ τῶν σαββάτων, ἐκάθισαν.

15 Μετὰ δὲ τὴν ἀνάγνωσιν τοῦ νόμου καὶ τῶν προφητῶν, ἀπέστειλαν οἱ ἀρχισυνάγωγοι πρὸς αὐτοὺς, λέγοντες· Ἄνδρες ἀδελφοὶ, εἴ τις ἐστὶ λόγος παρακλήσεως ἐν ὑμῖν πρὸς τὸν λαὸν, λέγετε.

16 Ἀναστὰς δὲ Παῦλος, καὶ κατασείσας τῇ χειρὶ, εἶπε· Ἄνδρες Ἰσραηλῖται, καὶ οἱ φοβούμενοι τὸν Θεὸν, ἀκούσατε.

17 Ὁ Θεὸς τοῦ λαοῦ τούτου Ἰσραὴλ ἐξελέξατο τοὺς πατέρας ἡμῶν, καὶ ὑψώσε τὸν λαὸν ἐν τῇ παροικίᾳ ἐν γῇ Αἰγύπτου, καὶ μετὰ βραχίονος ὑψηλοῦ ἐξήγαγεν αὐτοὺς ἐξ αὐτῆς·

18 Καὶ ὡσεὶ χρόνον τεσσαρακονταετῆ ἐτροποφόρησεν αὐτοὺς ἐν τῇ ἐρήμῳ·

19 Καὶ καθελὼν ἔθνη ἑπτὰ ἐν γῇ Χαναὰν, κατεκληρονόμησε τὴν γῆν αὐτῶν,

20 Ὡς ἔτεσι τετρακοσίοις καὶ πεντήκοντα· καὶ μετὰ ταῦτα ἔδωκε κριτὰς ἕως Σαμουὴλ τοῦ προφήτου.

21 Κἀκεῖθεν ᾐτήσαντο βασιλέα· καὶ ἔδωκεν αὐτοῖς ὁ Θεὸς Σαοὺλ τὸν τοῦ Κὶς, ἄνδρα ἐκ φυλῆς Βενιαμὶν, ἔτη τεσσαράκοντα·

22 Καὶ μεταστήσας αὐτὸν, ἤγειρεν αὐτοῖς τὸν Δαβὶδ εἰς βασιλέα, ᾧ καὶ εἶπε μαρτυρήσας· Εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαὶ, ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου.

23 Τούτου ὁ Θεὸς κατὰ τὴν ἐπαγγελίαν ἤγαγε τῷ Ἰσραὴλ σωτῆρα Ἰησοῦν·

24 Προκηρύξαντος Ἰωάννου πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ βάπτισμα μετανοίας παντὶ τῷ λαῷ Ἰσραήλ·

25 Πληροῦντος δὲ Ἰωάννου τὸν δρόμον, ἔλεγε· Τίνα ἐμὲ ὑπονοεῖτε εἶναι, οὐκ εἰμὶ ἐγώ· ἀλλ' ἰδοὺ ἔρχεται μετ' ἐμὲ, οὗ οὐκ εἰμὶ ἄξιος τὸ ὑπόδημα τῶν ποδῶν λῦσαι.

26 Ἄνδρες ἀδελφοὶ, υἱοὶ γένους Ἀβραὰμ, καὶ οἱ ἐν ὑμῖν φοβούμενοι τὸν Θεὸν, ὑμῖν ὁ λόγος τῆς σωτηρίας ταύτης ἐξαπεστάλη.

27 Οἱ γὰρ κατοικοῦντες ἐν Ἱερουσαλὴμ, καὶ οἱ ἄρχοντες αὐτῶν τοῦτον ἀγνοήσαντες, καὶ τὰς φωνὰς τῶν προφητῶν τὰς κατὰ πᾶν σάββατον ἀναγινωσκομένας, κρίναντες ἐπλήρωσαν·

28 Καὶ μηδεμίαν αἰτίαν θανάτου εὑρόντες, ᾐτήσαντο Πιλᾶτον ἀνελεῖν αὐτόν·

29 Ὡς δὲ ἐτέλεσαν πάντα τὰ περὶ αὐτοῦ γεγραμμένα, καθελόντες ἀπὸ τοῦ ξύλου, ἔθηκαν εἰς μνῆμα.

30 Ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ·

31 Ὃς ὤφθη ἐπὶ ἡμέρας πλείους τοῖς συναναβᾶσιν αὐτῷ ἀπὸ τῆς Γαλιλαίας εἰς Ἱερουσαλὴμ, οἵτινες νῦν εἰσὶ μάρτυρες αὐτοῦ πρὸς τὸν λαόν.

32 Καὶ ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα τὴν πρὸς τοὺς πατέρας ἐπαγγελίαν γενομένην,

33 Ὅτι ταύτην ὁ Θεὸς ἐκπεπλήρωκε τοῖς τέκνοις ἡμῶν, ἀναστήσας Ἰησοῦν· ὡς καὶ ἐν τῷ ψαλμῷ γέγραπται τῷ δευτέρῳ· Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε.

34 Ὅτι δὲ ἀνέστησεν αὐτὸν ἐκ νεκρῶν, μηκέτι μέλλοντα ὑποστρέφειν εἰς διαφθοράν, οὕτως εἰρηκώς· Ὅτι δώσω ὑμῖν τὰ ὅσια Δαβὶδ τὰ πιστά.

35 Διότι καὶ ἐν ἑτέρῳ λέγει· Οὐ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν.

36 Δαβὶδ μὲν γὰρ ἰδίᾳ γενεᾷ ὑπηρετήσας τῇ τοῦ Θεοῦ βουλῇ, ἐκοιμήθη, καὶ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ, καὶ εἶδε διαφθοράν·

37 Ὃν δὲ ὁ Θεὸς ἤγειρε, διαφθορὰν οὐκ εἶδε.

38 Γνωστὸν οὖν ἔστω ὑμῖν, ἄνδρες ἀδελφοὶ, ὅτι διὰ τούτου ὑμῖν ἄφεσις ἁμαρτιῶν καταγγέλλεται·

39 Καὶ ἀπὸ πάντων ὧν οὐκ ἠδυνήθητε ἐν νόμῳ Μωσέως δικαιωθῆναι, ἐν τούτῳ πᾶς ὁ πιστεύων δικαιοῦται.

40 Βλέπετε οὖν μὴ ἐπέλθῃ τὸ εἰρημένον ἐν τοῖς προφήταις·

41 Ἴδετε, οἱ καταφρονηταὶ, καὶ θαυμάσατε καὶ ἀφανίσθητε· ὅτι ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν, ἔργον ὃ οὐ μὴ πιστεύσητε ἐάν τις ἐκδιηγῆται ὑμῖν.

42 Ἐξιόντων δὲ αὐτῶν ἐκ τῆς συναγωγῆς, παρεκάλουν εἰς τὸ μεταξὺ σάββατον λαληθῆναι αὐτοῖς τὰ ῥήματα ταῦτα.

43 Λυθείσης δὲ τῆς συναγωγῆς, ἠκολούθησαν πολλοὶ τῶν Ἰουδαίων καὶ τῶν σεβομένων προσηλύτων τῷ Παύλῳ καὶ τῷ Βαρνάβᾳ, οἵτινες προσλαλοῦντες αὐτοῖς, ἔπειθον αὐτοὺς προσμένειν τῇ χάριτι τοῦ Θεοῦ.

44 Τῷ δὲ μεταξὺ σαββάτῳ σχεδὸν πᾶσα ἡ πόλις συνήχθη ἀκοῦσαι τὸν λόγον τοῦ Θεοῦ.

45 Ἰδόντες δὲ οἱ Ἰουδαῖοι τοὺς ὄχλους, ἐπλήσθησαν ζήλου, καὶ ἀντέλεγον τοῖς ὑπὸ Παύλου λαλουμένοις, βλασφημοῦντες.

46 Παρρησιασάμενοι δὲ ὁ Παῦλος καὶ ὁ Βαρνάβας εἶπον· Ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον τοῦ Θεοῦ· ἐπειδὴ ἀπωθεῖσθε αὐτὸν, καὶ οὐκ ἀξίους κρίνετε ἑαυτοὺς τῆς αἰωνίου ζωῆς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη.

47 Οὕτω γὰρ ἐντέταλται ἡμῖν ὁ Κύριος· Τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς.

48 Ἀκούοντα δὲ τὰ ἔθνη ἐχάρησαν καὶ ἐδόξαζον τὸν λόγον τοῦ Κυρίου· καὶ ἐπίστευσαν ὅσοι ἦσαν τεταγμένοι εἰς ζωὴν αἰώνιον.

49 Διεφέρετο δὲ ὁ λόγος τοῦ Κυρίου διὰ πάσης τῆς χώρας.

50 Οἱ δὲ Ἰουδαῖοι παρώτρυναν τὰς σεβομένας γυναῖκας τὰς εὐσχήμονας καὶ τοὺς πρώτους τῆς πόλεως, καὶ ἐπήγειραν διωγμὸν ἐπὶ τὸν Παῦλον καὶ τὸν Βαρνάβαν, καὶ ἐξέβαλον αὐτοὺς ἀπὸ τῶν ὁρίων αὐτῶν.

51 Οἱ δὲ ἐκτινάξαντες τὸν κονιορτὸν τῶν ποδῶν ἐπ' αὐτοὺς, ἦλθον εἰς Ἰκόνιον.

52 Οἱ δὲ μαθηταὶ ἐπλήρουντο χαρᾶς καὶ Πνεύματος Ἁγίου.

Κεφάλαιον ιγ'.

1 Ἐγένετο δὲ ἐν Ἰκονίῳ κατὰ τὸ αὐτὸ εἰσελθεῖν αὐτοὺς εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων, καὶ λαλῆσαι οὕτως, ὥστε πιστεῦσαι Ἰουδαίων τε καὶ Ἑλλήνων πολὺ πλῆθος.

2 Οἱ δὲ ἀπειθοῦντες Ἰουδαῖοι ἐπήγειραν καὶ ἐκάκωσαν τὰς ψυχὰς τῶν ἐθνῶν κατὰ τῶν ἀδελφῶν.

3 Ἱκανὸν μὲν οὖν χρόνον διέτριψαν παρρησιαζόμενοι ἐπὶ τῷ Κυρίῳ, τῷ μαρτυροῦντι τῷ λόγῳ τῆς χάριτος αὐτοῦ, διδόντι σημεῖα καὶ τέρατα γίνεσθαι διὰ τῶν χειρῶν αὐτῶν.

4 Ἐσχίσθη δὲ τὸ πλῆθος τῆς πόλεως· καὶ οἱ μὲν ἦσαν σὺν τοῖς Ἰουδαίοις, οἱ δὲ σὺν τοῖς ἀποστόλοις.

5 Ὡς δὲ ἐγένετο ὁρμὴ τῶν τε ἐθνῶν καὶ Ἰουδαίων σὺν τοῖς ἄρχουσιν αὐτῶν ὑβρίσαι καὶ λιθοβολῆσαι αὐτούς,

6 Συνιδόντες κατέφυγον εἰς τὰς πόλεις τῆς Λυκαονίας Λύστραν καὶ Δέρβην, καὶ τὴν περίχωρον·

7 Κἀκεῖ εὐαγγελιζόμενοι ἦσαν.

8 Καί τις ἀνὴρ ἐν Λύστροις ἀδύνατος τοῖς ποσὶν ἐκάθητο, χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ, ὃς οὐδέποτε περιεπάτησε.

9 Οὗτος ἤκουσε τοῦ Παύλου λαλοῦντος· ὃς ἀτενίσας αὐτῷ, καὶ ἰδὼν ὅτι ἔχει πίστιν τοῦ σωθῆναι,

10 Εἶπε μεγάλῃ φωνῇ· Ἀνάστηθι ἐπὶ τοὺς πόδας σου ὀρθός. Καὶ ἥλατο καὶ περιεπάτει.

11 Οἱ δὲ ὄχλοι ἰδόντες ὃ ἐποίησε Παῦλος, ἐπῆραν τὴν φωνὴν αὐτῶν λέγοντες Λυκαονιστὶ· Οἱ θεοὶ ὁμοιωθέντες ἀνθρώποις κατέβησαν πρὸς ἡμᾶς.

12 Ἐκάλουν τε τὸν μὲν Βαρνάβαν Διὸς, τὸν δὲ Παῦλον Ἑρμῆν, ἐπειδὴ αὐτὸς ἦν ὁ ἡγούμενος τοῦ λόγου.

13 Ὁ τε ἱερεὺς τοῦ Διὸς τοῦ ὄντος πρὸ τῆς πόλεως αὐτῶν, ταύρους καὶ στέμματα ἐπὶ τοὺς πυλῶνας ἐνέγκας, σὺν τοῖς ὄχλοις ἤθελε θύειν.

14 Ἀκούσαντες δὲ οἱ ἀπόστολοι Βαρνάβας καὶ Παῦλος, διαῤῥήξαντες τὰ ἱμάτια αὐτῶν, ἐξεπήδησαν εἰς τὸν ὄχλον, κράζοντες

15 Καὶ λέγοντες· Ἄνδρες, τί ταῦτα ποιεῖτε; καὶ ἡμεῖς ὁμοιοπαθεῖς ἐσμεν ὑμῖν ἄνθρωποι, εὐαγγελιζόμενοι ὑμᾶς ἀπὸ τούτων τῶν ματαίων ἐπιστρέφειν ἐπὶ τὸν Θεὸν ζῶντα, ὃς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς·

16 Ὃς ἐν ταῖς παρῳχημέναις γενεαῖς εἴασε πάντα τὰ ἔθνη πορεύεσθαι ταῖς ὁδοῖς αὐτῶν·

17 Καίτοι οὐκ ἀμάρτυρον ἑαυτὸν ἀφῆκεν ἀγαθουργῶν, οὐρανόθεν ὑμῖν ὑετοὺς διδοὺς καὶ καιροὺς καρποφόρους, ἐμπιπλῶν τροφῆς καὶ εὐφροσύνης τὰς καρδίας ὑμῶν.

18 Καὶ ταῦτα λέγοντες μόλις κατέπαυσαν τοὺς ὄχλους τοῦ μὴ θύειν αὐτοῖς.

19 Ἐπῆλθον δὲ ἀπὸ Ἀντιοχείας καὶ Ἰκονίου Ἰουδαῖοι· καὶ πείσαντες τοὺς ὄχλους, καὶ λιθάσαντες τὸν Παῦλον, ἔσυρον ἔξω τῆς πόλεως, νομίσαντες αὐτὸν τεθνηκέναι.

20 Κυκλωσάντων δὲ αὐτὸν τῶν μαθητῶν, ἀναστὰς εἰσῆλθεν εἰς τὴν πόλιν· καὶ τῇ ἐπαύριον ἐξῆλθε σὺν τῷ Βαρνάβᾳ εἰς Δέρβην.

21 Εὐαγγελισάμενοί τε τὴν πόλιν ἐκείνην, καὶ μαθητεύσαντες ἱκανούς, ὑπέστρεψαν εἰς τὴν Λύστραν καὶ εἰς Ἰκόνιον καὶ εἰς Ἀντιόχειαν,

22 Ἐπιστηρίζοντες τὰς ψυχὰς τῶν μαθητῶν, παρακαλοῦντες ἐμμένειν τῇ πίστει, καὶ ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

23 Χειροτονήσαντες δὲ αὐτοῖς κατ' ἐκκλησίαν πρεσβυτέρους, προσευξάμενοι μετὰ νηστειῶν παρέθεντο αὐτοὺς τῷ Κυρίῳ, εἰς ὃν πεπιστεύκεισαν.

24 Διελθόντες δὲ τὴν Πισιδίαν, ἦλθον εἰς Παμφυλίαν·

25 Καὶ λαλήσαντες ἐν Περγῇ τὸν λόγον, κατέβησαν εἰς Ἀττάλειαν·

26 Κἀκεῖθεν ἀπέπλευσαν εἰς Ἀντιόχειαν, ὅθεν ἦσαν παραδεδομένοι τῇ χάριτι τοῦ Θεοῦ εἰς τὸ ἔργον ὃ ἐπλήρωσαν.

27 Παραγενόμενοι δὲ καὶ συναγαγόντες τὴν ἐκκλησίαν, ἀνήγγελλον ὅσα ἐποίησεν ὁ Θεὸς μετ' αὐτῶν, καὶ ὅτι ἤνοιξε τοῖς ἔθνεσι θύραν πίστεως.

28 Διέτριβον δὲ χρόνον οὐκ ὀλίγον σὺν τοῖς μαθηταῖς.

Κεφάλαιον ιδ'.

1 Καὶ τινες κατελθόντες ἀπὸ τῆς Ἰουδαίας ἐδίδασκον τοὺς ἀδελφοὺς, ὅτι Ἐὰν μὴ περιτμηθῆτε τῷ ἔθει τῷ Μωσέως, οὐ δύνασθε σωθῆναι.

2 Γενομένης δὲ στάσεως καὶ συζητήσεως οὐκ ὀλίγης τῷ Παύλῳ καὶ τῷ Βαρνάβᾳ πρὸς αὐτούς, ἔταξαν ἀναβαίνειν Παῦλον καὶ Βαρνάβαν καί τινας ἄλλους ἐξ αὐτῶν πρὸς τοὺς ἀποστόλους καὶ πρεσβυτέρους εἰς Ἱερουσαλὴμ περὶ τοῦ ζητήματος τούτου.

3 Οἱ μὲν οὖν προπεμφθέντες ὑπὸ τῆς ἐκκλησίας διήρχοντο τήν τε Φοινίκην καὶ Σαμάρειαν, ἐκδιηγούμενοι τὴν ἐπιστροφὴν τῶν ἐθνῶν· καὶ ἐποίουν χαρὰν μεγάλην πᾶσι τοῖς ἀδελφοῖς.

4 Παραγενόμενοι δὲ εἰς Ἱερουσαλὴμ, παρεδέχθησαν ὑπὸ τῆς ἐκκλησίας καὶ τῶν ἀποστόλων καὶ τῶν πρεσβυτέρων, ἀνήγγειλάν τε ὅσα ὁ Θεὸς ἐποίησε μετ' αὐτῶν.

5 Ἐξανέστησαν δέ τινες τῶν ἀπὸ τῆς αἱρέσεως τῶν Φαρισαίων πεπιστευκότες, λέγοντες ὅτι δεῖ περιτέμνειν αὐτοὺς, παραγγέλλειν τε τηρεῖν τὸν νόμον Μωσέως.

6 Συνήχθησαν δὲ οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι ἰδεῖν περὶ τοῦ λόγου τούτου.

7 Πολλῆς δὲ συζητήσεως γενομένης, ἀναστὰς Πέτρος εἶπε πρὸς αὐτούς· Ἄνδρες ἀδελφοὶ, ὑμεῖς ἐπίστασθε ὅτι ἀφ' ἡμερῶν ἀρχαίων ἐν ὑμῖν ἐξελέξατο ὁ Θεὸς διὰ τοῦ στόματός μου ἀκοῦσαι τὰ ἔθνη τὸν λόγον τοῦ εὐαγγελίου καὶ πιστεῦσαι.

8 Καὶ ὁ καρδιογνώστης Θεὸς ἐμαρτύρησεν αὐτοῖς, δοὺς τὸ Πνεῦμα τὸ Ἅγιον καθὼς καὶ ἡμῖν·

9 Καὶ οὐδὲν διέκρινε μεταξὺ ἡμῶν τε καὶ αὐτῶν, τῇ πίστει καθαρίσας τὰς καρδίας αὐτῶν.

10 Νῦν οὖν τί πειράζετε τὸν Θεὸν, ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε οἱ πατέρες ἡμῶν οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι;

11 Ἀλλὰ διὰ τῆς χάριτος τοῦ Κυρίου Ἰησοῦ πιστεύομεν σωθῆναι καθ' ὃν τρόπον κἀκεῖνοι.

12 Ἐσίγησε δὲ πᾶν τὸ πλῆθος, καὶ ἤκουον Βαρνάβα καὶ Παύλου ἐξηγουμένων ὅσα ἐποίησεν ὁ Θεὸς σημεῖα καὶ τέρατα ἐν τοῖς ἔθνεσι διὰ τῆς χειρὸς αὐτῶν.

13 Μετὰ δὲ τὸ σιγῆσαι αὐτοὺς, ἀπεκρίθη Ἰάκωβος λέγων· Ἄνδρες ἀδελφοὶ, ἀκούσατέ μου·

14 Συμεὼν ἐξηγήσατο καθὼς πρῶτον ὁ Θεὸς ἐπεσκέψατο λαβεῖν ἐξ ἐθνῶν λαὸν τῷ ὀνόματι αὐτοῦ.

15 Καὶ τούτῳ συμφωνοῦσιν οἱ λόγοι τῶν προφητῶν, καθὼς γέγραπται·

16 Μετὰ ταῦτα ἀναστρέψω καὶ ἀνοικοδομήσω τὴν σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν, καὶ τὰ κατεσκαμμένα αὐτῆς ἀνοικοδομήσω, καὶ ἀνορθώσω αὐτήν·

17 Ὅπως ἂν ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώπων τὸν Κύριον, καὶ πάντα τὰ ἔθνη ἐφ' οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτοὺς, λέγει Κύριος ὁ ποιῶν ταῦτα·

18 Γνωστὰ ἀπ' αἰῶνος ἐστὶ τῷ Θεῷ πάντα τὰ ἔργα αὐτοῦ.

19 Διὸ ἐγὼ κρίνω μὴ παρενοχλεῖν τοῖς ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσι τῷ Θεῷ,

20 Ἀλλὰ ἐπιστεῖλαι αὐτοῖς τοῦ ἀπέχεσθαι τῶν ἀλισγημάτων τῶν εἰδώλων καὶ τῆς πορνείας καὶ πνικτοῦ καὶ τοῦ αἵματος.

21 Μωσῆς γὰρ ἐκ γενεῶν ἀρχαίων κατὰ πόλιν τοὺς κηρύσσοντας αὐτὸν ἔχει, ἐν ταῖς συναγωγαῖς κατὰ πᾶν σάββατον ἀναγινωσκόμενος.

22 Τότε ἔδοξε τοῖς ἀποστόλοις καὶ τοῖς πρεσβυτέροις σὺν ὅλῃ τῇ ἐκκλησίᾳ, ἐκλεξαμένους ἄνδρας ἐξ αὐτῶν πέμψαι εἰς Ἀντιόχειαν σὺν τῷ Παύλῳ καὶ Βαρνάβᾳ, Ἰούδαν τὸν καλούμενον Βαρσαββᾶν, καὶ Σιλᾶν, ἄνδρας ἡγουμένους ἐν τοῖς ἀδελφοῖς,

23 Γράψαντες διὰ χειρὸς αὐτῶν· Οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι ἀδελφοὶ τοῖς κατὰ τὴν Ἀντιόχειαν καὶ Συρίαν καὶ Κιλικίαν ἀδελφοῖς τοῖς ἐξ ἐθνῶν, χαίρειν.

24 Ἐπειδὴ ἠκούσαμεν ὅτι τινὲς ἐξ ἡμῶν ἐξελθόντες ἐτάραξαν ὑμᾶς λόγοις, ἀνασκευάζοντες τὰς ψυχὰς ὑμῶν, οἷς οὐ διεστειλάμεθα,

25 Ἔδοξεν ἡμῖν γενομένοις ὁμοθυμαδὸν ἐκλεξαμένοις ἄνδρας πέμψαι πρὸς ὑμᾶς σὺν τοῖς ἀγαπητοῖς ἡμῶν Βαρνάβᾳ καὶ Παύλῳ,

26 Ἀνθρώποις παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

27 Ἀπεστάλκαμεν οὖν Ἰούδαν καὶ Σιλᾶν, καὶ αὐτοὺς διὰ λόγου ἀπαγγέλλοντας τὰ αὐτά.

28 Ἔδοξε γὰρ τῷ Πνεύματι τῷ Ἁγίῳ καὶ ἡμῖν μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος πλὴν τούτων τῶν ἐπάναγκες,

29 Ἀπέχεσθαι εἰδωλοθύτων καὶ αἵματος καὶ πνικτῶν καὶ πορνείας· ἐξ ὧν διατηροῦντες ἑαυτοὺς εὖ πράξετε. Ἔρρωσθε.

30 Οἱ μὲν οὖν ἀπολυθέντες κατῆλθον εἰς Ἀντιόχειαν· καὶ συναγαγόντες τὸ πλῆθος, ἐπέδωκαν τὴν ἐπιστολήν.

31 Ἣν ἀναγνόντες, ἐχάρησαν ἐπὶ τῇ παρακλήσει.

32 Ἰούδας τε καὶ Σιλᾶς καὶ αὐτοὶ προφῆται ὄντες διὰ λόγου πολλοῦ παρεκάλεσαν τοὺς ἀδελφοὺς καὶ ἐστήριξαν.

33 Ποιήσαντες δὲ χρόνον, ἀπελύθησαν μετ' εἰρήνης ἀπὸ τῶν ἀδελφῶν πρὸς τοὺς ἀποστείλαντας αὐτούς.

34 Ἔδοξε δὲ τῷ Σιλᾷ ἐπιμεῖναι αὐτοῦ· μόνος δὲ Ἰούδας ἐπορεύθη.

35 Παῦλος δὲ καὶ Βαρνάβας διέτριβον ἐν Ἀντιοχείᾳ, διδάσκοντες καὶ εὐαγγελιζόμενοι μετὰ καὶ ἄλλων πολλῶν τὸν λόγον τοῦ Κυρίου.

36 Μετὰ δέ τινας ἡμέρας εἶπε πρὸς Βαρνάβαν Παῦλος· Ἐπιστρέψαντες δὴ ἐπισκεψώμεθα τοὺς ἀδελφοὺς κατὰ πόλιν πᾶσαν ἐν αἷς κατηγγείλαμεν τὸν λόγον τοῦ Κυρίου, πῶς ἔχουσι.

37 Βαρνάβας δὲ ἐβουλεύσατο συμπαραλαβεῖν καὶ τὸν Ἰωάννην τὸν καλούμενον Μᾶρκον·

38 Παῦλος δὲ ἠξίου τὸν ἀποστάντα ἀπ' αὐτῶν ἀπὸ Παμφυλίας, καὶ μὴ συνελθόντα αὐτοῖς εἰς τὸ ἔργον, μὴ συμπαραλαμβάνεσθαι τοῦτον.

39 Ἐγένετο δὲ παροξυσμὸς, ὥστε ἀποχωρισθῆναι αὐτοὺς ἀπ' ἀλλήλων· τόν τε Βαρνάβαν παραλαβόντα τὸν Μᾶρκον ἐκπλεῦσαι εἰς Κύπρον·

40 Παῦλος δὲ ἐπιλεξάμενος Σιλᾶν ἐξῆλθε, παραδοθεὶς τῇ χάριτι τοῦ Κυρίου ὑπὸ τῶν ἀδελφῶν.

41 Διήρχετο δὲ τὴν Συρίαν καὶ Κιλικίαν, ἐπιστηρίζων τὰς ἐκκλησίας.

Κεφάλαιον ιε'.

1 Κατήντησε δὲ εἰς Δέρβην καὶ Λύστραν· καὶ ἰδοὺ μαθητής τις ἦν ἐκεῖ ὀνόματι Τιμόθεος, υἱὸς γυναικὸς Ἰουδαίας πιστῆς, πατρὸς δὲ Ἕλληνος,

2 Ὃς ἐμαρτυρεῖτο ὑπὸ τῶν ἐν Λύστροις καὶ Ἰκονίῳ ἀδελφῶν.

3 Τοῦτον ἠθέλησε Παῦλος σὺν αὐτῷ ἐξελθεῖν· καὶ λαβὼν περιέτεμεν αὐτὸν διὰ τοὺς Ἰουδαίους τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις· ἤδεισαν γὰρ ἅπαντες τὸν πατέρα αὐτοῦ ὅτι Ἕλλην ὑπῆρχε.

4 Διαπορευόμενοι δὲ τὰς πόλεις παρεδίδουν αὐτοῖς φυλάσσειν τὰ δόγματα τὰ κεκριμένα ὑπὸ τῶν ἀποστόλων καὶ πρεσβυτέρων τῶν ἐν Ἱερουσαλήμ.

5 Αἱ μὲν οὖν ἐκκλησίαι ἐστερεοῦντο τῇ πίστει, καὶ ἐπερίσσευον τῷ ἀριθμῷ καθ' ἡμέραν.

6 Διῆλθον δὲ τὴν Φρυγίαν καὶ Γαλατικὴν χώραν, κωλυθέντες ὑπὸ τοῦ Πνεύματος τοῦ Ἁγίου λαλῆσαι τὸν λόγον ἐν τῇ Ἀσίᾳ·

7 Ἐλθόντες δὲ κατὰ τὴν Μυσίαν, ἐπείραζον εἰς τὴν Βιθυνίαν πορευθῆναι· καὶ οὐκ εἴασεν αὐτοὺς τὸ Πνεῦμα Ἰησοῦ·

8 Παρελθόντες δὲ τὴν Μυσίαν, κατέβησαν εἰς Τρῳάδα.

9 Καὶ ὅραμα διὰ νυκτὸς τῷ Παύλῳ ὤφθη· Ἀνὴρ Μακεδών τις ἦν ἑστὼς καὶ παρακαλῶν αὐτὸν καὶ λέγων· Διαβὰς εἰς Μακεδονίαν βοήθησον ἡμῖν.

10 Ὡς δὲ τὸ ὅραμα εἶδε, εὐθέως ἐζητήσαμεν ἐξελθεῖν εἰς Μακεδονίαν, συμβιβάζοντες ὅτι προσκέκληται ἡμᾶς ὁ Κύριος εὐαγγελίσασθαι αὐτούς.

11 Ἀναχθέντες δὲ ἀπὸ Τρῳάδος, εὐθυδρομήσαμεν εἰς Σαμοθρᾴκην, τῇ δὲ ἐπιούσῃ εἰς Νεάπολιν·

12 Κἀκεῖθεν εἰς Φιλίππους, ἥτις ἐστὶ πρώτης μερίδος τῆς Μακεδονίας πόλις, κολωνία· ἦμεν δὲ ἐν ταύτῃ τῇ πόλει διατρίβοντες ἡμέρας τινάς.

13 Τῇ τε ἡμέρᾳ τῶν σαββάτων ἐξήλθομεν ἔξω τῆς πύλης παρὰ ποταμὸν, οὗ ἐνομίζομεν προσευχὴν εἶναι· καὶ καθίσαντες ἐλαλοῦμεν ταῖς συνελθούσαις γυναιξί.

14 Καί τις γυνὴ ὀνόματι Λυδία, πορφυρόπωλις πόλεως Θυατείρων, σεβομένη τὸν Θεὸν, ἤκουεν· ἧς ὁ Κύριος διήνοιξε τὴν καρδίαν προσέχειν τοῖς λαλουμένοις ὑπὸ τοῦ Παύλου.

15 Ὡς δὲ ἐβαπτίσθη καὶ ὁ οἶκος αὐτῆς, παρεκάλεσε λέγουσα· Εἰ κεκρίκατέ με πιστὴν τῷ Κυρίῳ εἶναι, εἰσελθόντες εἰς τὸν οἶκόν μου μείνατε· καὶ παρεβιάσατο ἡμᾶς.

16 Ἐγένετο δὲ πορευομένων ἡμῶν εἰς τὴν προσευχὴν, παιδίσκην τινὰ ἔχουσαν πνεῦμα πύθωνα ὑπαντῆσαι ἡμῖν, ἥτις ἐργασίαν πολλὴν παρεῖχε τοῖς κυρίοις αὐτῆς μαντευομένη.

17 Αὕτη κατακολουθήσασα τῷ Παύλῳ καὶ ἡμῖν, ἔκραζε λέγουσα· Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσὶν, οἵτινες καταγγέλλουσιν ὑμῖν ὁδὸν σωτηρίας.

18 Τοῦτο δὲ ἐποίει ἐπὶ πολλὰς ἡμέρας. Διαπονηθεὶς δὲ ὁ Παῦλος καὶ ἐπιστρέψας τῷ πνεύματι εἶπε· Παραγγέλλω σοι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἐξελθεῖν ἀπ' αὐτῆς. Καὶ ἐξῆλθε αὐτὴ τὴν ὥραν.

19 Ἰδόντες δὲ οἱ κύριοι αὐτῆς ὅτι ἐξῆλθεν ἡ ἐλπὶς τῆς ἐργασίας αὐτῶν, ἐπιλαβόμενοι τοῦ Παύλου καὶ τοῦ Σιλᾶ εἵλκυσαν εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας,

20 Καὶ προσαγαγόντες τοῖς στρατηγοῖς εἶπον· Οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσι τὴν πόλιν ἡμῶν, Ἰουδαῖοι ὑπάρχοντες,

21 Καὶ καταγγέλλουσιν ἔθη ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι οὐδὲ ποιεῖν, Ῥωμαίοις οὖσιν.

22 Καὶ συνεπέστη ὁ ὄχλος κατ' αὐτῶν· καὶ οἱ στρατηγοὶ περιῤῥήξαντες αὐτῶν τὰ ἱμάτια ἐκέλευον ῥαβδίζειν·

23 Πολλάς τε ἐπιθέντες αὐτοῖς πληγὰς, ἔβαλον εἰς φυλακὴν, παραγγείλαντες τῷ δεσμοφύλακι ἀσφαλῶς τηρεῖν αὐτούς·

24 Ὃς παραγγελίαν τοιαύτην εἰληφὼς, ἔβαλεν αὐτοὺς εἰς τὴν ἐσωτέραν φυλακὴν, καὶ τοὺς πόδας ἠσφαλίσατο εἰς τὸ ξύλον.

15 Ἀλλ᾽ οὐχ ὡς τὸ παράπτωμα, οὕτω και το χαρισμα· εἰ γαρ τῷ τοῦ ἑνὸς παραπτωματι οἱ πολλοὶ ἀπέθανον, πολλῷ μᾶλλον ἡ χάρις τοῦ Θεοῦ καὶ ἡ δωρεὰ ἐν χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ εἰς τους πολλους ἐπερίσσευσεν.

16 Καὶ οὐχ ὡς δι᾽ ἑνὸς ἁμαρτησαντος, τὸ δώρημα· τὸ μεν γαρ κρίμα ἐξ ἑνὸς εἰς κατακριμα, τὸ δε χαρισμα ἐκ πολλων παραπτωματων εἰς δικαίωμα.

17 Εἰ γαρ τῷ τοῦ ἑνὸς παραπτωματι ὁ θάνατος ἐβασίλευσε διὰ τοῦ ἑνός, πολλῷ μᾶλλον οἱ τὴν περισσειαν της χάριτος και της δωρεας της δικαιοσυνης λαμβανοντες ἐν ζωῇ βασιλευσουσι διὰ τοῦ ἑνὸς Ἰησοῦ Χριστοῦ.

18 Ἄρα οὖν ὡς δι᾽ ἑνὸς παραπτωματος εἰς πάντας ἀνθρώπους εἰς κατακριμα, οὕτω και δι᾽ ἑνὸς δικαιώματος εἰς πάντας ἀνθρώπους εἰς δικαίωσιν ζωης.

19 Ὥσπερ γαρ διὰ της παρακοης του ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί, οὕτω και διὰ της ὑπακοης του ἑνὸς δίκαιοι κατασταθήσονται οἱ πολλοί.

20 Νόμος δε παρεισηλθεν ἵνα πλεονάσῃ τὸ παράπτωμα· οὗ δε ἐπλεόνασεν ἡ ἁμαρτια, ὑπερεπερίσσευσεν ἡ χάρις·

21 ἵνα ὥσπερ ἐβασίλευσεν ἡ ἁμαρτια ἐν τῷ θανατῷ, οὕτω και ἡ χάρις βασιλεύσῃ διὰ δικαιοσυνης εἰς ζωὴν αἰώνιον διὰ Ἰησοῦ Χριστοῦ του Κυρίου ἡμῶν.

6 Τί οὖν ἐροῦμεν; ἐπιμενωμεν τῇ ἁμαρτίᾳ ἵνα ἡ χάρις πλεονάσῃ;

2 Μὴ γενοιτο· οἵτινες ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, πῶς ἔτι ζήσομεν ἐν αὐτῇ;

3 Ἢ ἀγνοεῖτε ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν;

4 Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρων διὰ της δόξης του Πατρός, οὕτω και ἡμεῖς ἐν καινότητι ζωης περιπατήσωμεν.

5 Εἰ γαρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι του θανάτου αὐτου, ἀλλα και της ἀναστάσεως ἐσόμεθα·

6 τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα της ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ·

7 ὁ γαρ ἀποθανων δεδικαίωται ἀπὸ της ἁμαρτίας.

8 Εἰ δε ἀπεθάνομεν σὺν Χριστῷ, πιστευομεν ὅτι και συζήσομεν αὐτῷ·

9 εἰδότες ὅτι Χριστὸς ἐγερθεὶς ἐκ νεκρων οὐκέτι ἀποθνῄσκει· θάνατος αὐτου οὐκέτι κυριεύει.

10 Ὃ γαρ ἀπέθανε τῇ ἁμαρτίᾳ, ἀπέθανεν ἐφάπαξ· ὃ δε ζῇ, ζῇ τῷ Θεῷ.

11 Οὕτω και ὑμεῖς λογίζεσθε ἑαυτους εἶναι νεκρους μεν τῇ ἁμαρτίᾳ, ζῶντας δε τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

12 Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτια ἐν τῷ θνητῷ ὑμῶν σώματι εἰς τὸ ὑπακούειν ταῖς ἐπιθυμίαις αὐτου·

13 μηδε παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ, ἀλλα παραστήσατε ἑαυτους τῷ Θεῷ ὡσεὶ ἐκ νεκρων ζωντας, και τὰ μέλη ὑμῶν ὅπλα δικαιοσυνης τῷ Θεῷ.

14 Ἁμαρτία γαρ ὑμων οὐ κυριεύσει· οὐ γαρ ἐστε ὑπο νόμον, ἀλλ᾽ ὑπο χάριν.

15 Τί οὖν; ἁμαρτήσωμεν ὅτι οὐκ ἐσμεν ὑπο νόμον, ἀλλ᾽ ὑπο χάριν; Μὴ γενοιτο.

16 Οὐκ οἴδατε ὅτι ᾧ παριστάνετε ἑαυτους δούλους εἰς ὑπακοήν, δοῦλοί ἐστε ᾧ ὑπακούετε, ἤτοι ἁμαρτίας εἰς θάνατον, ἢ ὑπακοης εἰς δικαιοσύνην;

17 Χάρις δε τῷ Θεῷ ὅτι ἦτε δοῦλοι της ἁμαρτίας, ὑπηκούσατε δε ἐκ καρδίας εἰς ὃν παρεδόθητε τύπον διδαχης·

18 ἐλευθερωθεντες δε ἀπο της ἁμαρτίας, ἐδουλώθητε τῇ δικαιοσύνῃ.

19 Ἀνθρώπινον λέγω διὰ τὴν ἀσθένειαν της σαρκὸς ὑμων· ὥσπερ γαρ παρεστήσατε τὰ μέλη ὑμῶν δουλα τῇ ἀκαθαρσίᾳ και τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν, οὕτω νῦν παραστήσατε τὰ μέλη ὑμῶν δουλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν.

20 Ὅτε γαρ δοῦλοι ἦτε της ἁμαρτίας, ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ.

21 Τίνα οὖν καρπὸν εἴχετε τότε ἐφ᾽ οἷς νῦν ἐπαισχύνεσθε; τὸ γαρ τέλος ἐκείνων θάνατος.

22 Νυνὶ δε ἐλευθερωθεντες ἀπο της ἁμαρτίας, δουλωθεντες δε τῷ Θεῷ, ἔχετε τὸν καρπὸν ὑμων εἰς ἁγιασμόν, τὸ δε τέλος ζωὴν αἰώνιον.

23 Τὰ γαρ ὀψωνια της ἁμαρτίας θάνατος· τὸ δε χαρισμα του Θεου ζωὴ αἰώνιος ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

7 Ἢ ἀγνοεῖτε, ἀδελφοί, γινώσκουσι γαρ νόμον λαλω, ὅτι ὁ νόμος κυριεύει του ἀνθρώπου ἐφ᾽ ὅσον χρόνον ζῇ;

2 Ἡ γαρ ὑπανδρος γυνὴ τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ· ἐὰν δε ἀποθάνῃ ὁ ἀνήρ, κατήργηται ἀπο του νόμου του ἀνδρός.

3 Ἄρα οὖν ζῶντος του ἀνδρὸς μοιχαλὶς χρηματίσει ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ· ἐὰν δε ἀποθάνῃ ὁ ἀνήρ, ἐλευθέρα ἐστὶν ἀπο του νόμου, τοῦ μὴ εἶναι αὐτὴν μοιχαλίδα γενομένην ἀνδρὶ ἑτέρῳ.

4 Ὥστε, ἀδελφοί μου, και ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ διὰ του σώματος του Χριστου, εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρῳ, τῷ ἐκ νεκρων ἐγερθέντι, ἵνα καρποφορήσωμεν τῷ Θεῷ.

5 Ὅτε γαρ ἦμεν ἐν τῇ σαρκί, τὰ παθήματα των ἁμαρτιων τὰ διὰ του νόμου ἐνηργείτο ἐν τοῖς μέλεσιν ἡμων εἰς τὸ καρποφορήσαι τῷ θανάτῳ·

6 νυνὶ δε κατηργήθημεν ἀπο του νόμου ἀποθανοντες ἐν ᾧ κατειχόμεθα, ὥστε δουλεύειν ἡμᾶς ἐν καινότητι πνεύματος και οὐ παλαιότητι γράμματος.

7 Τί οὖν ἐροῦμεν; ὁ νόμος ἁμαρτία; Μὴ γενοιτο· ἀλλα τὴν ἁμαρτίαν οὐκ ἔγνων εἰ μὴ διὰ νόμου· τήν τε γαρ ἐπιθυμίαν οὐκ ἤδειν εἰ μὴ ὁ νόμος ἔλεγε, Οὐκ ἐπιθυμήσεις.

8 Ἀφορμὴν δε λαβοῦσα ἡ ἁμαρτια διὰ της ἐντολης κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν· χωρὶς γαρ νόμου ἁμαρτία νεκρά.

9 Ἐγω δε ἔζων χωρὶς νόμου ποτε· ἐλθούσης δε της ἐντολης, ἡ ἁμαρτια ἀνέζησε, ἐγω δε ἀπέθανον·

10 καὶ εὑρέθη μοι ἡ ἐντολὴ ἡ εἰς ζωὴν αὕτη εἰς θάνατον·

11 ἡ γαρ ἁμαρτια ἀφορμὴν λαβοῦσα διὰ της ἐντολης ἐξηπάτησε με, και δι᾽ αὐτης ἀπέκτεινε.

12 Ὥστε ὁ μεν νόμος ἅγιος, και ἡ ἐντολὴ ἁγία και δικαία και ἀγαθή.

13 Τὸ οὖν ἀγαθὸν ἐμοὶ γέγονε θάνατος; Μὴ γενοιτο· ἀλλα ἡ ἁμαρτια, ἵνα φανῇ ἁμαρτία, διὰ ἀγαθου μοι κατεργαζομένη θάνατον, ἵνα γένηται καθ᾽ ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτια διὰ της ἐντολης.

14 Οἴδαμεν γαρ ὅτι ὁ νόμος πνευματικός ἐστιν· ἐγω δε σάρκινός εἰμι, πεπραμένος ὑπο τὴν ἁμαρτίαν.

15 Ὃ γαρ κατεργάζομαι, οὐ γινώσκω· οὐ γαρ ὃ θέλω τοῦτο πράσσω, ἀλλ᾽ ὃ μισῶ τοῦτο ποιῶ.

16 Εἰ δε ὃ οὐ θέλω τοῦτο ποιῶ, σύμφημι τῷ νόμῳ ὅτι καλός.

17 Νυνὶ δε οὐκέτι ἐγω κατεργάζομαι αὐτο, ἀλλ᾽ ἡ οἰκουσα ἐν ἐμοὶ ἁμαρτία.

18 Οἶδα γαρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοί, τοῦτ᾽ ἔστιν ἐν τῇ σαρκί μου, ἀγαθόν· τὸ γαρ θέλειν παράκειταί μοι, τὸ δε κατεργάζεσθαι τὸ καλὸν οὐχ εὑρίσκω.

19 Οὐ γαρ ὃ θέλω ποιῶ ἀγαθόν, ἀλλ᾽ ὃ οὐ θέλω κακὸν τοῦτο πράσσω.

20 Εἰ δε ὃ οὐ θέλω ἐγω τοῦτο ποιῶ, οὐκέτι ἐγω κατεργάζομαι αὐτο, ἀλλ᾽ ἡ οἰκουσα ἐν ἐμοὶ ἁμαρτία.

21 Εὑρίσκω ἄρα τὸν νόμον τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ καλόν, ὅτι ἐμοὶ τὸ κακὸν παράκειται.

22 Συνήδομαι γαρ τῷ νόμῳ του Θεου κατὰ τὸν ἔσω ἄνθρωπον,

23 βλέπω δε ἕτερον νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ του νοός μου, και αἰχμαλωτίζοντα με ἐν τῷ νόμῳ της ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μου.

24 Ταλαίπωρος ἐγω ἄνθρωπος· τίς με ῥύσεται ἐκ του σώματος του θανάτου τούτου;

25 Εὐχαριστω τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ του Κυρίου ἡμῶν. Ἄρα οὖν αὐτὸς ἐγω τῷ μεν νοὶ δουλεύω νόμῳ Θεου, τῇ δε σαρκὶ νόμῳ ἁμαρτίας.

8 Οὐδὲν ἄρα νῦν κατάκριμα τοῖς ἐν Χριστῷ Ἰησοῦ, μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλα κατὰ πνεῦμα.

2 Ὁ γαρ νόμος του πνεύματος της ζωης ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσε με ἀπο του νόμου της ἁμαρτίας και του θανάτου.

3 Τὸ γαρ ἀδύνατον του νόμου, ἐν ᾧ ἠσθένει διὰ της σαρκός, ὁ Θεὸς τὸν ἑαυτου Υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, και περὶ ἁμαρτίας κατέκρινε την ἁμαρτίαν ἐν τῇ σαρκί,

4 ἵνα τὸ δικαίωμα του νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν ἀλλα κατὰ πνεῦμα.

5 Οἱ γαρ κατὰ σάρκα ὄντες τὰ της σαρκὸς φρονοῦσιν· οἱ δε κατὰ πνεῦμα τὰ του πνεύματος.

6 Τὸ γαρ φρόνημα της σαρκὸς θάνατος· τὸ δε φρόνημα του πνεύματος ζωὴ και εἰρήνη·

7 διότι τὸ φρόνημα της σαρκὸς ἔχθρα εἰς Θεόν· τῷ γαρ νόμῳ του Θεου οὐχ ὑποτάσσεται, οὐδε γαρ δύναται·

8 οἱ δε ἐν σαρκὶ ὄντες Θεῷ ἀρέσαι οὐ δύνανται.

9 Ὑμεῖς δε οὐκ ἐστε ἐν σαρκὶ ἀλλ᾽ ἐν πνεύματι, εἴπερ πνεῦμα Θεου οἰκεῖ ἐν ὑμῖν. Εἰ δε τις πνεῦμα Χριστου οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτου.

10 Εἰ δε Χριστὸς ἐν ὑμῖν, τὸ μεν σῶμα νεκρὸν διὰ ἁμαρτίαν, τὸ δε πνεῦμα ζωὴ διὰ δικαιοσύνην.

11 Εἰ δε τὸ πνεῦμα του ἐγείραντος τὸν Ἰησοῦν ἐκ νεκρων οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας Χριστὸν ἐκ νεκρων ζωοποιήσει και τὰ θνητὰ σώματα ὑμων διὰ του ἐνοικοῦντος αὐτου πνεύματος ἐν ὑμῖν.

12 Ἄρα οὖν, ἀδελφοί, ὀφειλέται ἐσμεν οὐ τῇ σαρκὶ του κατὰ σάρκα ζῆν·

13 εἰ γαρ κατὰ σάρκα ζῆτε μελλετε ἀποθνῄσκειν· εἰ δε πνεύματι τὰς πράξεις του σώματος θανατοῦτε, ζήσεσθε.

14 Ὅσοι γαρ πνεύματι Θεου ἄγονται, οὗτοι υἱοὶ Θεου εἰσιν.

15 Οὐ γαρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ᾽ ἐλάβετε πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν, Ἀββᾶ ὁ Πατήρ.

16 Αὐτὸ το πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμων ὅτι ἐσμὲν τέκνα Θεου·

17 εἰ δε τέκνα, και κληρονόμοι· κληρονόμοι μεν Θεου, συγκληρονόμοι δε Χριστου· εἴπερ συμπάσχομεν, ἵνα και συνδοξασθῶμεν.

18 Λογίζομαι γαρ ὅτι οὐκ ἄξια τὰ παθήματα του νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς.

19 Ἡ γαρ ἀποκαραδοκία της κτίσεως τὴν ἀποκάλυψιν των υἱων του Θεου ἀπεκδέχεται.

20 Τῇ γαρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλα διὰ τὸν ὑποτάξαντα, ἐφ᾽ ἐλπίδι

21 ὅτι και αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπο της δουλείας της φθορᾶς εἰς τὴν ἐλευθερίαν της δόξης των τέκνων του Θεου.

22 Οἴδαμεν γαρ ὅτι πᾶσα ἡ κτίσις συστενάζει και συνωδίνει ἄχρι του νῦν·

23 οὐ μόνον δε, ἀλλα και αὐτοὶ τὴν ἀπαρχὴν του πνεύματος ἔχοντες, ἡμεῖς και αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν, υἱοθεσίαν ἀπεκδεχόμενοι, τὴν ἀπολύτρωσιν του σώματος ἡμων.

24 Τῇ γαρ ἐλπίδι ἐσώθημεν· ἐλπὶς δε βλεπομένη οὐκ ἔστιν ἐλπίς· ὃ γαρ βλέπει τις, τί και ἐλπίζει;

25 Εἰ δε ὃ οὐ βλέπομεν ἐλπίζομεν, δι᾽ ὑπομονης ἀπεκδεχόμεθα.

26 Ὡσαύτως δε και το πνεῦμα συναντιλαμβάνεται ταῖς ἀσθενείαις ἡμων· τὸ γαρ τί προσευξώμεθα καθὸ δεῖ οὐκ οἴδαμεν, ἀλλα αὐτὸ το πνεῦμα ὑπερεντυγχάνει στεναγμοῖς ἀλαλήτοις·

27 ὁ δε ἐραυνων τὰς καρδίας οἶδε τί το φρόνημα του πνεύματος, ὅτι κατὰ Θεὸν ἐντυγχάνει ὑπερ ἁγίων.

28 Οἴδαμεν δε ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν, τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν·

29 ὅτι οὓς προέγνω, και προώρισε συμμόρφους της εἰκόνος του Υἱου αὐτου, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς·

30 οὓς δε προώρισε, τούτους και ἐκάλεσε· και οὓς ἐκάλεσε, τούτους και ἐδικαίωσε· οὓς δε ἐδικαίωσε, τούτους και ἐδόξασε.

31 Τί οὖν ἐροῦμεν πρὸς ταῦτα; εἰ ὁ Θεὸς ὑπερ ἡμων, τίς καθ᾽ ἡμων;

32 Ὃς γε τοῦ ἰδίου Υἱου οὐκ ἐφείσατο, ἀλλα ὑπερ ἡμων πάντων παρέδωκεν αὐτόν, πῶς οὐχι και σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται;

33 Τίς ἐγκαλέσει κατὰ ἐκλεκτων Θεου; Θεὸς ὁ δικαιῶν·

34 τίς ὁ κατακρινων; Χριστὸς Ἰησοῦς ὁ ἀποθανων, μᾶλλον δε ἐγερθεὶς ἐκ νεκρων, ὃς και ἐστιν ἐν δεξιᾷ του Θεου, ὃς και ἐντυγχάνει ὑπερ ἡμων.

35 Τίς ἡμᾶς χωρίσει ἀπο της ἀγάπης του Χριστου; θλῖψις ἢ στενοχωρία ἢ διωγμὸς ἢ λιμὸς ἢ γυμνότης ἢ κίνδυνος ἢ μάχαιρα;

36 Καθὼς γέγραπται ὅτι Ἕνεκεν σου θανατούμεθα ὅλην την ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατα σφαγης.

37 Ἀλλ᾽ ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ του ἀγαπήσαντος ἡμᾶς.

38 Πέπεισμαι γαρ ὅτι οὔτε θάνατος οὔτε ζωὴ οὔτε ἄγγελοι οὔτε ἀρχαὶ οὔτε ἐνεστῶτα οὔτε μέλλοντα οὔτε δυνάμεις

39 οὔτε ὕψωμα οὔτε βάθος οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπο της ἀγάπης του Θεου της ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμων.

9 Ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, συμμαρτυρούσης μοι της συνειδήσεως μου ἐν πνεύματι ἁγίῳ,

2 ὅτι λύπη μοί ἐστι μεγάλη και ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου.

3 Ηὐχόμην γαρ ἀνάθεμα εἶναι αὐτὸς ἐγω ἀπο του Χριστου ὑπερ των ἀδελφων μου, των συγγενων μου κατὰ σάρκα,

4 οἵτινές εἰσιν Ἰσραηλῖται, ὧν ἡ υἱοθεσία και ἡ δόξα και αἱ διαθῆκαι και ἡ νομοθεσία και ἡ λατρεία και αἱ ἐπαγγελίαι,

5 ὧν οἱ πατέρες, και ἐξ ὧν ὁ Χριστὸς το κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν.

6 Οὐχ οἷον δε ὅτι ἐκπέπτωκε τὸ ῥῆμα του Θεου. Οὐ γαρ πάντες οἱ ἐξ Ἰσραὴλ οὗτοι Ἰσραήλ·

7 οὐδ᾽ ὅτι εἰσὶ σπέρμα Ἀβραὰμ πάντες τέκνα, ἀλλ᾽ Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα.

8 Τοῦτ᾽ ἔστι, οὐ τὰ τέκνα της σαρκὸς ταῦτα τέκνα του Θεου, ἀλλα τὰ τέκνα της ἐπαγγελίας λογίζεται εἰς σπέρμα.

9 Ἐπαγγελίας γαρ ὁ λόγος οὗτος· Κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι, και ἔσται τῇ Σάρρᾳ υἱός.

10 Οὐ μόνον δε, ἀλλα και Ῥεβέκκα ἐξ ἑνὸς κοίτην ἔχουσα, Ἰσαὰκ του πατρὸς ἡμων·

11 μήπω γαρ γεννηθέντων μηδε πραξάντων τι ἀγαθὸν ἢ φαῦλον, ἵνα ἡ κατ᾽ ἐκλογὴν πρόθεσις του Θεου μένῃ,

12 οὐκ ἐξ ἔργων ἀλλ᾽ ἐκ του καλουντος, ἐρρέθη αὐτῇ ὅτι Ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι·

13 καθὼς γέγραπται, Τὸν Ἰακὼβ ἠγάπησα, τὸν δε Ἠσαῦ ἐμίσησα.

14 Τί οὖν ἐροῦμεν; μὴ ἀδικία παρὰ τῷ Θεῷ; Μὴ γενοιτο.

15 Τῷ γαρ Μωσεῖ λέγει, Ἐλεήσω ὃν ἂν ἐλεῶ, και οἰκτιρήσω ὃν ἂν οἰκτίρω.

16 Ἄρα οὖν οὐ του θέλοντος οὐδε του τρέχοντος, ἀλλα του ἐλεοῦντος Θεου.

17 Λέγει γαρ ἡ γραφὴ τῷ Φαραὼ ὅτι Εἰς αὐτὸ το τοῦτο ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοὶ την δύναμίν μου, και ὅπως διαγγελῇ το ὄνομά μου ἐν πάσῃ τῇ γῇ.

18 Ἄρα οὖν ὃν θέλει ἐλεεῖ, ὃν δε θέλει σκληρύνει.

19 Ἐρεῖς μοι οὖν τί ἔτι μέμφεται; τῷ γαρ βουλήματι αὐτου τίς ἀνθέστηκε;

20 Ὦ ἄνθρωπε μενουνγε σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; μὴ ἐρεῖ τὸ πλασθὲν τῷ πλάσαντι, Τί με ἐποίησας οὕτως;

21 Ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς του πηλου, ἐκ του αὐτου φυράματος ποιῆσαι ὃ μεν εἰς τιμὴν σκεῦος, ὃ δε εἰς ἀτιμίαν;

22 Εἰ δε θέλων ὁ Θεὸς ἐνδείξασθαι την ὀργὴν και γνωρίσαι το δυνατὸν αὐτου ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργης κατηρτισμένα εἰς ἀπώλειαν,

23 ἵνα γνωρίσῃ τὸν πλοῦτον της δόξης αὐτου ἐπὶ σκεύη ἐλέους, ἃ προητοίμασεν εἰς δόξαν,

24 οὓς και ἐκάλεσεν ἡμᾶς οὐ μόνον ἐξ Ἰουδαίων ἀλλα και ἐξ ἐθνων;

25 Ὡς και ἐν τῷ Ὡσηὲ λέγει, Καλέσω τὸν οὐ λαόν μου λαόν μου, και τὴν οὐκ ἠγαπημένην ἠγαπημένην·

26 και ἔσται ἐν τῷ τόπῳ οὗ ἐρρέθη αὐτοῖς, Οὐ λαός μου ὑμεῖς, ἐκεῖ κληθήσονται υἱοὶ Θεου ζῶντος.

27 Ἡσαΐας δε κράζει ὑπερ του Ἰσραήλ· Ἐὰν ᾖ ὁ ἀριθμὸς των υἱων Ἰσραὴλ ὡς ἡ ἄμμος της θαλάσσης, το ὑπόλειμμα σωθήσεται·

28 λόγον γαρ συντελων και συντέμνων ποιήσει Κύριος ἐπὶ της γης.

29 Και καθὼς προείρηκεν Ἡσαΐας, Εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν και ὡς Γόμορρα ἂν ὡμοιώθημεν.

30 Τί οὖν ἐροῦμεν; ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην κατέλαβε δικαιοσύνην, δικαιοσύνην δε την ἐκ πίστεως·

31 Ἰσραὴλ δε διώκων νόμον δικαιοσύνης εἰς νόμον οὐκ ἔφθασε.

32 Διὰ τί; ὅτι οὐκ ἐκ πίστεως ἀλλ᾽ ὡς ἐξ ἔργων νόμου· προσέκοψαν γαρ τῷ λίθῳ του προσκόμματος,

33 καθὼς γέγραπται, Ἰδοὺ τίθημι ἐν Σιὼν λίθον προσκόμματος και πέτραν σκανδάλου· και ὁ πιστεύων ἐπ᾽ αὐτῷ οὐ καταισχυνθήσεται.

10 Ἀδελφοί, ἡ μεν εὐδοκία της ἐμης καρδίας και ἡ δέησις ἡ πρὸς τὸν Θεὸν ὑπερ αὐτων εἰς σωτηρίαν.

2 Μαρτυρῶ γαρ αὐτοῖς ὅτι ζῆλον Θεου ἔχουσιν, ἀλλ᾽ οὐ κατ᾽ ἐπίγνωσιν·

3 ἀγνοουντες γαρ την του Θεου δικαιοσύνην, και την ἰδίαν ζητουντες στῆσαι, τῇ δικαιοσύνῃ του Θεου οὐχ ὑπετάγησαν.

4 Τέλος γαρ νόμου Χριστὸς εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι.

5 Μωσῆς γαρ γράφει την δικαιοσύνην την ἐκ του νόμου, ὅτι Ὁ ποιήσας αὐτὰ ἄνθρωπος ζήσεται ἐν αὐτοῖς.

6 Ἡ δε ἐκ πίστεως δικαιοσύνη οὕτω λέγει, Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, Τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τοῦτ᾽ ἔστι Χριστὸν καταγαγεῖν·

7 ἢ, Τίς καταβήσεται εἰς τὴν ἄβυσσον; τοῦτ᾽ ἔστι Χριστὸν ἐκ νεκρων ἀναγαγεῖν.

8 Ἀλλα τί λέγει; Ἐγγύς σου το ῥῆμα ἐστὶν ἐν τῷ στόματί σου και ἐν τῇ καρδίᾳ σου· τοῦτ᾽ ἔστι το ῥῆμα της πίστεως ὃ κηρύσσομεν·

9 ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου Κύριον Ἰησοῦν, και πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρων, σωθήσῃ·

10 καρδίᾳ γαρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δε ὁμολογεῖται εἰς σωτηρίαν.

11 Λέγει γαρ ἡ γραφή, Πᾶς ὁ πιστεύων ἐπ᾽ αὐτῷ οὐ καταισχυνθήσεται.

12 Οὐ γαρ ἐστι διαστολὴ Ἰουδαίου τε και Ἕλληνος· ὁ γαρ αὐτὸς Κύριος πάντων, πλουτων εἰς πάντας τοὺς ἐπικαλουμένους αὐτόν·

13 πᾶς γαρ ὃς ἂν ἐπικαλέσηται το ὄνομα Κυρίου σωθήσεται.

14 Πῶς οὖν ἐπικαλέσωνται εἰς ὃν οὐκ ἐπίστευσαν; πῶς δε πιστεύσωσιν οὗ οὐκ ἤκουσαν; πῶς δε ἀκούσωσι χωρὶς κηρύσσοντος;

15 Πῶς δε κηρύξωσιν ἐὰν μὴ ἀποσταλῶσι; καθὼς γέγραπται, Ὡς ὡραῖοι οἱ πόδες των εὐαγγελιζομένων εἰρήνην, των εὐαγγελιζομένων τὰ ἀγαθά.

16 Ἀλλ᾽ οὐ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ· Ἡσαΐας γαρ λέγει, Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμων;

17 Ἄρα ἡ πίστις ἐξ ἀκοης, ἡ δε ἀκοὴ διὰ ῥήματος Θεου.

18 Ἀλλα λέγω, Μὴ οὐκ ἤκουσαν; Μενουνγε εἰς πᾶσαν την γην ἐξῆλθεν ὁ φθόγγος αὐτων, και εἰς τὰ πέρατα της οἰκουμένης τὰ ῥήματα αὐτων.

19 Ἀλλα λέγω, Μὴ Ἰσραὴλ οὐκ ἔγνω; Πρῶτος Μωσῆς λέγει, Ἐγω παραζηλώσω ὑμᾶς ἐπ᾽ οὐκ ἔθνει, ἐπ᾽ ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς.

20 Ἡσαΐας δε ἀποτολμᾷ και λέγει, Εὑρέθην τοῖς ἐμὲ μὴ ζητουσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν.

21 Πρὸς δε τὸν Ἰσραὴλ λέγει, Ὅλην την ἡμέραν ἐξεπέτασα τὰς χεῖρας μου πρὸς λαὸν ἀπειθοῦντα και ἀντιλέγοντα.

11 Λέγω οὖν, Μὴ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτου; Μὴ γενοιτο· και γαρ ἐγω Ἰσραηλίτης εἰμί, ἐκ σπέρματος Ἀβραάμ, φυλης Βενιαμίν.

2 Οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτου ὃν προέγνω. Ἢ οὐκ οἴδατε ἐν Ἠλίᾳ τί λέγει ἡ γραφή; ὡς ἐντυγχάνει τῷ Θεῷ κατὰ του Ἰσραήλ, λέγων,

3 Κύριε, τους προφήτας σου ἀπέκτειναν, τὰ θυσιαστήριά σου κατέσκαψαν, κἀγω ὑπελείφθην μονος, και ζητοῦσι την ψυχήν μου.

4 Ἀλλα τί λέγει αὐτῷ ὁ χρηματισμός; Κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ.

5 Οὕτω οὖν και ἐν τῷ νῦν καιρῷ λεῖμμα κατ᾽ ἐκλογὴν χάριτος γέγονεν.

6 Εἰ δε χάριτι, οὐκέτι ἐξ ἔργων, ἐπεὶ ἡ χάρις οὐκέτι γίνεται χάρις.

7 Τί οὖν; ὃ ἐπιζητεῖ Ἰσραήλ, τοῦτο οὐκ ἐπέτυχεν, ἡ δε ἐκλογὴ ἐπέτυχε, οἱ δε λοιποὶ ἐπωρώθησαν·

8 καθὼς γέγραπται,

γὰρ κρῖμα ἐξ ἑνὸς εἰς κατάκριμα· τὸ δὲ χάρισμα ἐκ πολλῶν παραπτωμάτων εἰς δικαίωμα.

17 Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι ὁ θάνατος ἐβασίλευσε διὰ τοῦ ἑνός, πολλῷ μᾶλλον οἱ τὴν περισσείαν τῆς χάριτος καὶ τῆς δωρεᾶς τῆς δικαιοσύνης λαμβάνοντες, ἐν ζωῇ βασιλεύσουσι διὰ τοῦ ἑνὸς Ἰησοῦ Χριστοῦ.

18 Ἄρα οὖν ὡς δι' ἑνὸς παραπτώματος, εἰς πάντας ἀνθρώπους, εἰς κατάκριμα· οὕτω καὶ δι' ἑνὸς δικαιώματος, εἰς πάντας ἀνθρώπους, εἰς δικαίωσιν ζωῆς.

19 Ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί, οὕτω καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι κατασταθήσονται οἱ πολλοί.

20 Νόμος δὲ παρεισῆλθεν ἵνα πλεονάσῃ τὸ παράπτωμα· οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις·

21 ἵνα ὥσπερ ἐβασίλευσεν ἡ ἁμαρτία ἐν τῷ θανάτῳ, οὕτω καὶ ἡ χάρις βασιλεύσῃ διὰ δικαιοσύνης εἰς ζωὴν αἰώνιον, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

μίσου τοῦ ἑνὸς ἀνθρώπου ὑπὲρ ἁμαρτήσει· διατὶ τὸ κρῖμα, ἀπὸ ἑνὸς εἶναι εἰς κατακριμα· ἀμὴ τὸ χαρίσμα εἶναι εἰς δικαίωσιν ἀπὸ πολλῶν σφαλματων.

17 Διατὶ εἰ μὲ τὸ σφάλμα τοῦ ἑνὸς ἀνθρώπου ἐβασίλευσεν ὁ θάνατος διὰ μίσου ἐκείνου τοῦ ἑνὸς, πολλὰ περισσότεροι ἐκεῖνοι ὁποῦ περνοῦσι τὸν πλοῦτον τῆς δικαιοσύνης, θέλουσι βασιλεύσει εἰς τὴν ζωὴν διὰ τοῦ ἑνὸς Ἰησοῦ Χριστοῦ.

18 Καθὼς λοιπὸν διὰ μίσου ἑνὸς σφάλματος, ἦλθε τὸ κρῖμα εἰς ὅλους τοὺς ἀνθρώπους εἰς κατάκριμα· ἔτζι καὶ διὰ μίσου ἑνὸς δικαιώματος, ἦλθεν τὸ χάρισμα εἰς ὅλους τοὺς ἀνθρώπους εἰς δικαίωσιν ζωῆς.

19 Καὶ καθὼς διὰ μίσου τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου οἱ πολλοὶ κατεστάθηκαν ἁμαρτωλοὶ, ἔτζι καὶ διὰ μέσου τῆς ὑπακοῆς τοῦ ἑνὸς ἀνθρώπου θέλουσι καταστᾶθῆ οἱ πολλοὶ δίκαιοι.

20 Καὶ νόμος ἐμβῆκε, διὰ νὰ πλεονάσῃ ἡ ἁμαρτία· ἀμὴ ὁπου ἐπλεόνασεν ἡ ἁμαρτία, ἐπερισσευσεν ἡ χάρις παραπάνω.

21 Διὰ νὰ βασιλεύσῃ καὶ ἡ χάρις διὰ μίσου τῆς δικαιοσύνης εἰς ζωὴν αἰώνιον, διὰ Ἰησοῦ

καιοσύνης εἰς ζωὴν αἰώνιον, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

Χριστοῦ τοῦ Κυρίου μας, ὡς καθὼς ἐβασίλευσεν καὶ ἡ ἁμαρτία εἰς τὸν θάνατον.

Κεφ. ϛ'. 6.

Τί οὖν ἐροῦμεν; ἐπιμενοῦμεν τῇ ἁμαρτίᾳ, ἵνα ἡ χάρις πλεονάσῃ;

2 Μὴ γένοιτο· οἵτινες ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, πῶς ἔτι ζήσομεν ἐν αὐτῇ;

3 Ἢ ἀγνοεῖτε ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν;

4 Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον· ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ πατρός, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν.

5 Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα.

6 Τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ.

7 Ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας.

Τί θέλομεν εἰπεῖ λοιπόν; νὰ γενώμεθεν εἰς τὴν ἁμαρτίαν, διὰ νὰ πλεονάσῃ ἡ χάρις;

2 Μὴ γένοιτο· ἡμεῖς ὁποῦ ἀπεθάναμεν κατὰ τὴν ἁμαρτίαν, πῶς θέλομεν ζήσει πλέον μέσα εἰς αὐτήν;

3 Ἢ δὲν ἐξεύρετε, ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς τὸν Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατόν του ἐβαπτίσθημεν;

4 Διὰ μέσου τοῦ βαπτίσματος λοιπὸν ἐθάφτημεν μαζύ μὲ αὐτὸν εἰς τὸν θάνατον· διὰ νὰ περιπατήσωμεν καὶ ἡμεῖς εἰς καινότητα ζωῆς, καθὼς ὁ Χριστὸς ἀνέστη ἐκ νεκρῶν, διὰ μέσου τῆς δόξης τοῦ πατρός.

5 Διατὶ ἐὰν ἐνωθοῦμεν μὲ τὸν Χριστὸν εἰς τὸ ὁμοίωμα τοῦ θανάτου του, θέλομεν (ἐνωθοῦμεν) καὶ εἰς τὸ ὁμοίωμα τῆς ἀναστάσεως του.

6 Γνωρίζοντες τοῦτο, ὅτι ὁ παλαιὸς μας ἄνθρωπος ἐσταυρώθη μαζύ μὲ τὸν Χριστόν, διὰ νὰ χαλασθῇ τὸ σῶμα τῆς ἁμαρτίας, νὰ μὴν δουλεύωμεν ἐμεῖς πλέον τὴν ἁμαρτίαν.

7 Διατὶ ἐκεῖνος ὁποῦ ἀπέθανεν, ἐλευθερώθη ἀπὸ τὴν ἁμαρτίαν.

8 Εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ, πιστεύομεν ὅτι καὶ συζήσομεν αὐτῷ·

9 Εἰδότες ὅτι Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει· θάνατος αὐτοῦ οὐκ ἔτι κυριεύει.

10 Ὃ γὰρ ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ· ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ.

11 Οὕτω καὶ ὑμεῖς λογίζεσθε, ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

12 Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι, εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ·

13 Μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ· ἀλλὰ παραστήσατε ἑαυτοὺς τῷ Θεῷ ὡς ἐκ νεκρῶν ζῶντας, καὶ τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ Θεῷ.

14 Ἁμαρτία γὰρ ὑμῶν οὐ κυριεύσει· οὐ γάρ ἐστε ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν.

15 Τί οὖν; ἁμαρτήσομεν, ὅτι οὐκ ἐσμὲν ὑπὸ νόμον,

8 Καὶ εἰ ἀποθάνομεν μετὰ τοῦ Χριστοῦ, πιστεύομεν ὅτι καὶ θέλομεν ζήσει μαζὺ μετ' αὐτοῦ·

9 Ἐξεύροντας νὰ ἐξεύρωμεν, ὅτι ὁποὺ ὁ Χριστὸς ἀνεστάθη ἐκ νεκρῶν, δὲν ἀποθνήσκει πλέον· ὁ θάνατος αὐτοῦ πλέον δὲν τὸν αὐθεντεύει.

10 Διατὶ καθὼς ἀπέθανεν, (ὁ Χριστὸς,) ἀπέθανε κατὰ τὴν ἁμαρτίαν, μίαν φορὰν· ἀμὴ καθὼς ζῇ, ζῇ εἰς τὸν Θεόν.

11 Τίτοιας λογῆς καὶ ἐσεῖς, λογαριάζετε τὸ λόγο σας νὰ εἶσθε νεκροὶ ὅσον εἰς τὴν ἁμαρτίαν, καὶ νὰ ζῆτε εἰς τὸν Θεόν, διὰ μέσου τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας.

12 Ἂς μὴν βασιλεύῃ λοιπὸν ἡ ἁμαρτία εἰς τὸ θνητόν σας κορμί, εἰς τὸ νὰ ὑπακούετε τὴν ἁμαρτίαν εἰς ταῖς ἐπιθυμίαις τοῦ κορμιοῦ.

13 Μηδὲ νὰ παραδίνετε τὰ μέλη σας ἅρματα τῆς ἀδικίας εἰς τὴν ἁμαρτίαν· ἀλλὰ παραδέσατε τὸ λόγο σας εἰς τὸν Θεόν, ὡσὰν ὁποὺ ἐγεννήκετε ἀπὸ νεκροὺς ζωντανοί, καὶ τὰ μέλη σας ἅρματα δικαιοσύνης εἰς τὸν Θεόν.

14 Διατὶ ἡ ἁμαρτία δὲν θέλει σᾶς βασιλεύσει· ἐπειδὴ δὲν εἶσθε ἀποκάτω εἰς τὸν νόμον, ἀλλὰ ἀποκάτω εἰς τὴν χάριν.

15 Τί λοιπόν; νὰ ἁμαρτήσωμεν, διατὶ δὲν εἴμεσθεν ἀπο-

ἀλλ' ὑπὸ χάριν; Μὴ γένοιτο.

16 Οὐκ οἴδατε ὅτι ᾧ παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοήν, δοῦλοί ἐστε ᾧ ὑπακούετε, ἤτοι ἁμαρτίας εἰς θάνατον, ἢ ὑπακοῆς εἰς δικαιοσύνην;

17 Χάρις δὲ τῷ Θεῷ, ὅτι ἦτε δοῦλοι τῆς ἁμαρτίας, ὑπηκούσατε δὲ ἐκ καρδίας εἰς ὃν παρεδόθητε τύπον διδαχῆς.

18 Ἐλευθερωθέντες δὲ ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθητε τῇ δικαιοσύνῃ.

19 Ἀνθρώπινον λέγω, διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν· ὥσπερ γὰρ παρέστησατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν· οὕτω νῦν παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν.

20 Ὅτε γὰρ δοῦλοι ἦτε τῆς ἁμαρτίας, ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ.

21 Τίνα οὖν καρπὸν εἴχετε τότε, ἐφ' οἷς νῦν ἐπαισχύνεσθε; τὸ γὰρ τέλος ἐκείνων, θάνατος.

22 Νυνὶ δὲ ἐλευθερωθέντες

κάτω εἰς τὸν νόμον, ἀλλὰ εἰς τὴν χάριν; Μὴ γένοιτο.

16 Δὲν ἐξεύρετε ὅτι εἰς ἐκεῖνον ὁποῦ παραστήνετε τὸν λογισμόν σας δούλους εἰς τὴν ὑπακοήν του, εἶσθε δοῦλοι ἐκείνου ὁποῦ ὑπακούετε, ἢ τῆς ἁμαρτίας εἰς τὸν θάνατον, ἢ τῆς ὑπακοῆς εἰς τὴν δικαιοσύνην;

17 Ἀλλὰ δόξα σοι ὁ Θεός, ὅτι ἐσεῖς μὲν ἤσθαν δοῦλοι τῆς ἁμαρτίας, ἀμὴ ὑπακούσατε ἀπὸ καρδίας τὸν τύπον τῆς διδαχῆς, εἰς τὸν ὁποῖον ἐπαραδόθητε.

18 Καὶ ἔχοντας τὰ ἐλευθερωθῆκετε ἀπὸ τὴν ἁμαρτίαν, ἐδουλωθῆκετε εἰς τὴν δικαιοσύνην.

19 Ἀνθρωπίνως λαλῶ, διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς σας· καθὼς λοιπὸν ἐπαραστήσατε τὰ μέλη σας δοῦλα τῆς ἀκαθαρσίας καὶ τῆς ἀνομίας εἰς τὸ νὰ κάμνετε ἀνομίαν· ἔτζι τῶρα παραστήσετε τὰ μέλη σας δοῦλα τῆς δικαιοσύνης εἰς ἁγιασμόν.

20 Διατὶ ὅταν ἤσθαν δοῦλοι τῆς ἁμαρτίας, ἤσθαν ἐλεύθεροι ἀπὸ τὴν δικαιοσύνην.

21 Ποῖον λοιπὸν καρπὸν εἴχετε τότε εἰς ἐκεῖνα τὰ πράγματα, εἰς τὰ ὁποῖα τῶρα ἐντρέπεσθε; διατὶ τὸ τέλος ἐκείνων τῶν πραγμάτων εἶναι θάνατος.

22 Ἀμὴ τῶρα ἔχοντας τὰ

ἀπὸ τῆς ἁμαρτίας, δεδουλωθέντες δὲ τῷ Θεῷ, ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν· τὸ δὲ τέλος, ζωὴν αἰώνιον.

23 Τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας, θάνατος· τὸ δὲ χάρισμα τοῦ Θεοῦ, ζωὴ αἰώνιος ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

ἐλευθερωθῆκετε ἀπὸ τὴν ἁμαρτίαν, καὶ τὰ δεδουλωθῆτε εἰς τὸν Θεόν, ἔχετε τὸν καρπὸν σας εἰς ἁγιασμόν· καὶ τὸ τέλος (ἔχετε) ζωὴν αἰώνιον.

23 Διατὶ ἡ πληρωμὴ τῆς ἁμαρτίας εἶναι θάνατος· ἀμὰ τὸ χάρισμα τοῦ Θεοῦ, εἶναι ζωὴ αἰώνιος εἰς Χριστὸν Ἰησοῦν τὸν Κυριόν μας.

Κεφ. ζ. 7.

Ἢ ἀγνοεῖτε ἀδελφοί, (γινώσκουσι γὰρ νόμον λαλῶ,) ὅτι ὁ νόμος κυριεύει τοῦ ἀνθρώπου ἐφ' ὅσον χρόνον ζῇ;

2 Ἡ γὰρ ὕπανδρος γυνὴ τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ, κατήργηται ἀπὸ τοῦ νόμου τοῦ ἀνδρός.

3 Ἄρα οὖν ζῶντος τοῦ ἀνδρὸς, μοιχαλὶς χρηματίσει, ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, ἐλευθέρα ἐστὶν ἀπὸ τοῦ νόμου· τοῦ μὴ εἶναι αὐτὴν μοιχαλίδα, γενομένην ἀνδρὶ ἑτέρῳ.

4 Ὥστε, ἀδελφοί μου, καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ Χριστοῦ· εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρῳ τῷ ἐκ νεκρῶν

Ἢ δὲν ἐξεύρετε, ἀδελφοὶ, (διατὶ ἐγὼ λαλῶ εἰς ἐκεῖνες ποὺ γνωρίζουσιν νόμον,) ὅτι ὁ νόμος κυριεύει τὸν ἄνθρωπον εἰς ὅσον χρόνον ζῇ;

2 Διατὶ ἡ γυναῖκα ἡ ὑπανδρευμένη, εἶναι δεμένη εἰς τὸν νόμον τοῦ ἀνδρὸς, ὅσον χρόνον αὐτὸς ζῇ· ἀμὰ ἂν ἀποθάνῃ ὁ ἄνδρας της, ἐλευθερώθη ἡ γυναῖκα ἀπὸ τὸν νόμον τοῦ ἀνδρός·

3 Ζωντανοῦ λοιπὸν τοῦ ἀνδρός της, ἐὰν σμιχθῇ μὲ ἄλλον ἄνδρα, γίνεται μοιχαλὶς· ἀμὰ ἂν ἀποθάνῃ ὁ ἄνδρας της, εἶναι ἐλευθερη ἀπὸ τὸν νόμον· τὸ νὰ μὴν εἶναι μοιχαλίδα, ἂν ὑπανδρευθῇ ἄλλον ἄνδρα.

4 Εἰς τόσον ὅπου καὶ ἐσεῖς, ἀδελφοιμου, ἀπεθανατίσθητε ἀπὸ τὸν νόμον διὰ μέσου τοῦ σώματος τοῦ Χριστοῦ διὰ νὰ ὑπανδρευθῆτε ἐσεῖς ἄλλον ἄνδρα, ἤγουν

ἐγερθέντι, ἵνα καρποφορήσωμεν τῷ Θεῷ.

5 Ὅτε γὰρ ἦμεν ἐν τῇ σαρκὶ, τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν, εἰς τὸ καρποφορῆσαι τῷ θανάτῳ·

6 Νυνὶ δὲ κατηργήθημεν ἀπὸ τοῦ νόμου, ἀποθανόντες ἐν ᾧ κατειχόμεθα· ὥστε δουλεύειν ἡμᾶς ἐν καινότητι πνεύματος, καὶ οὐ παλαιότητι γράμματος.

7 Τί οὖν ἐροῦμεν; ὁ νόμος ἁμαρτία; Μὴ γένοιτο· ἀλλὰ τὴν ἁμαρτίαν οὐκ ἔγνων εἰ μὴ διὰ νόμου· τήν τε γὰρ ἐπιθυμίαν οὐκ ἤδειν, εἰ μὴ ὁ νόμος ἔλεγεν· Οὐκ ἐπιθυμήσεις.

8 Ἀφορμὴν δὲ λαβοῦσα ἡ ἁμαρτία, διὰ τῆς ἐντολῆς, κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν· χωρὶς γὰρ νόμου ἁμαρτία νεκρά·

9 Ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτέ· ἐλθούσης δὲ τῆς ἐντολῆς, ἡ ἁμαρτία ἀνέζησεν·

10 Ἐγὼ δὲ ἀπέθανον· καὶ εὑρέθη μοι ἡ ἐντολὴ ἡ

ἐκείνου ὁ ὁποῖος ἀπέθανε ἐκ νεκρῶν, διὰ τὰ κάμωμεν καρπὸν τῷ Θεῷ.

5 Διατὶ ὅταν ἤμασταν εἰς τὴν σάρκα ἐνηργοῦνταν τὰ παθήματα τῶν ἁμαρτιῶν, ἐκεῖνα ἦταν διὰ τοῦ νόμου, εἰς τὰ μέλη μας, κάμνοντες καρπὸν θανατηφόρον·

6 Ἀμὴ τώρα ἐλευθερώθημεν ἀπὸ τὸν νόμον, ἐχάσαμεν καὶ νὰ ἀπεθάνωμεν ἐκεῖνο ὁποῦ ἐκρατούμεσθαν· διὰ νὰ δουλεύωμεν εἰς καινουργιότητα πνεύματος, καὶ ὄχι εἰς τὴν παλαιότητα τοῦ γράμματος.

7 Λοιπὸν τί θέλομεν εἰπῆ; ὁ νόμος εἶναι ἁμαρτία; Μὴ γένοιτο· ἀλλὰ τὴν ἁμαρτίαν· δὲν τὴν ἐγνώρισα, παρὰ διὰ μέσου τοῦ νόμου· διατὶ καὶ τὴν ἐπιθυμίαν δὲν τὴν ἤξευρα, νὰ εἶναι ἁμαρτία, αὐτὸ ἐλεγεν ὁ νόμος· Νὰ μὴ ἐπιθυμήσῃς.

8 Ἀλλὰ ἡ ἁμαρτία ἔχοντας νὰ πάρῃ ἀφορμὴν διὰ μέσου τῆς ἐντολῆς, ἔκαμεν εἰς ἐμένα κάθε λογῆς ἐπιθυμίαν· διατὶ χωρὶς τὸν νόμον ἡ ἁμαρτία εἶναι νεκρή·

9 Καὶ ἐγὼ ἔνα καιρὸν χωρὶς τὸν νόμον ἔζων· ἀλλὰ ὅταν ἠλθεν ἡ ἐντολή, ἡ ἁμαρτία ἀνέζησε·

10 Καὶ ἐγὼ ἀπέθανα· καὶ ἡ ἐντολὴ (ὁποῦ ἐδόθη) εἰς ζω-

εἰς ζωὴν, αὐτὴ εἰς θάνατον.

11 Ἡ γὰρ ἁμαρτία ἀφορμὴν λαβοῦσα διὰ τῆς ἐντολῆς, ἐξηπάτησε με, καὶ δι' αὐτῆς ἀπέκτεινεν.

12 Ὥστε ὁ μὲν νόμος ἅγιος· καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή.

13 Τὸ οὖν ἀγαθὸν ἐμοὶ γέγονε θάνατος; Μὴ γένοιτο· ἀλλὰ ἡ ἁμαρτία· ἵνα φανῇ ἁμαρτία διὰ τοῦ ἀγαθοῦ μοι κατεργαζομένη θάνατον, ἵνα γένηται καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς.

14 Οἴδαμεν γὰρ ὅτι ὁ νόμος πνευματικός ἐστιν· ἐγὼ δὲ σαρκινός εἰμι, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν.

15 Ὃ γὰρ κατεργάζομαι, οὐ γινώσκω· οὐ γὰρ ὃ θέλω, τοῦτο πράσσω· ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ.

16 Εἰ δὲ ὃ οὐ θέλω, τοῦτο ποιῶ, συμφημὶ τῷ νόμῳ ὅτι καλός.

17 Νυνὶ δὲ οὐκέτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ' αὐτὴ μου οἰκοῦσα ἁμαρτία.

11 Διότι ἡ ἁμαρτία ἐφορμὴν λαβοῦσα διὰ τῆς ἐντολῆς, με ἐξηπάτησε, καὶ δι' αὐτῆς, με ἀπέκτεινε.

12 Ὥστε ὁ μὲν νόμος ἅγιος· καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή.

13 Τὸ ἀγαθὸν οὖν, ἐμοὶ ἐγένετο θάνατος; Μὴ γένοιτο· ἀλλὰ ἡ ἁμαρτία, ἵνα φανῇ ἁμαρτία, διὰ τοῦ ἀγαθοῦ κατεργαζομένη μοι θάνατον· ἵνα γένηται καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς.

14 Οἴδαμεν γὰρ ὅτι ὁ νόμος πνευματικός ἐστιν· ἐγὼ δὲ σαρκινός εἰμι, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν.

15 Ὃ γὰρ κατεργάζομαι, οὐ γινώσκω· οὐ γὰρ ὃ θέλω, τοῦτο πράσσω· ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ.

16 Εἰ δὲ ὃ οὐ θέλω, τοῦτο ποιῶ, συμφημὶ τῷ νόμῳ ὅτι καλός.

17 Νυνὶ δὲ οὐκέτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ' ἡ

11 Διατί ἡ ἁμαρτία ἐφωτήσασα διὰ πάρῃ ἀφορμὴν διὰ τῆς ἐντολῆς, με ἀπάτησε, καὶ διὰ μέσου αὐτῆς, με ἐθανάτωσεν.

12 Λοιπὸν ὁ μὲν νόμος εἶναι ἅγιος· καὶ ἡ ἐντολὴ εἶναι ἁγία καὶ δικαία καὶ ἀγαθή.

13 Τὸ ἀγαθὸν λοιπὸν, εἰς ἐμὲ ἔγινε θάνατος; Μὴ γένοιτο· ἀλλὰ ἡ ἁμαρτία εἰς ἐμὲ ἔγινε θάνατος· διὰ νὰ φανῇ πὼς εἶναι ἁμαρτία, κάμνουσα θάνατον εἰς ἐμὲ, διὰ μέσου τοῦ ἀγαθοῦ, διὰ νὰ γένῃ κατὰ πολλὰ ἁμαρτωλὸς ἡ ἁμαρτία, διὰ μέσου τῆς ἐντολῆς.

14 Διατὶ ἐξεύρομεν, ὅτι ὁ νόμος εἶναι πνευματικός, ἐμὴ ἐγὼ εἶμαι σαρκικός, πεπλημελημένος ἀποκάτω εἰς τὴν ἁμαρτίαν.

15 Διατὶ ἐκεῖνο ὁποῦ κάμνω, δὲν τὸ γινώσκω· διατὶ δὲν κάμνω ἐκεῖνο ὁποῦ θέλω· ἀλλὰ κάμνω ἐκεῖνο ὁποῦ μισῶ.

16 Καὶ ἐὰν κάμνω ἐκεῖνο, ὁποῦ δὲν θέλω, συμφωνῶ μὲ τὸν νόμον, ὅτι εἶναι καλός.

17 Καὶ τώρα πλέον δὲν τὸ κάμνω ἐγὼ ἐκεῖνο, ἀλλὰ ἡ

ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία.

18 Οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοί (τοῦτ' ἔστιν ἐν τῇ σαρκί μου) ἀγαθόν· τὸ γὰρ θέλειν παράκειταί μοι, τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν, οὐχ ὑρίσκω.

19 Οὐ γὰρ ὃ θέλω, ποιῶ ἀγαθόν· ἀλλ' ὃ οὐ θέλω κακόν, τοῦτο πράσσω.

20 Εἰ δὲ ὃ οὐ θέλω ἐγὼ τοῦτο ποιῶ, οὐκέτι ἐγὼ κατεργάζομαι αὐτό, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία.

21 Εὑρίσκω ἄρα τὸν νόμον τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ καλὸν, ὅτι ἐμοὶ τὸ κακὸν παράκειται.

22 Συνήδομαι γὰρ τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον·

23 Βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μου.

24 Ταλαίπωρος ἐγὼ ἄνθρωπος· τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;

25 Εὐχαριστῶ τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

ἁμαρτία ὅπου καλεῖται εἰς ἐμέ (τὸ κακόν).

18 Διατί ἐξεύρω ὅτι δὲν κατοικεῖ εἰς ἐμένα (τοῦτ' εἶναι εἰς τὴν σάρκα μου) τίποτες ἀγαθόν· διατὶ τὸ θέλειν ἔχω, ἀλλὰ τὸ κάμνω τὸ καλὸν, δὲν τὸ εὑρίσκω.

19 Διατὶ ἐγὼ δὲν κάμνω τὸ καλὸν ὁποῦ θέλω, ἀλλὰ τὸ κακὸν ὁποῦ δὲν θέλω, ἐκεῖνο κάμνω.

20 Καὶ ἂν ἐγὼ κάμνω ἐκεῖνο, τὸ ὁποῖον δὲν θέλω, δὲν τὸ κάμνω ἐγὼ ἐκεῖνο, ἀλλὰ ἡ ἁμαρτία ὁποῦ κατοικεῖ εἰς ἐμένα.

21 Εὑρίσκω λοιπὸν τὸν νόμον εἰς τοῦ λόγου μου, ὅταν θέλω νὰ κάμνω τὸ καλὸν, ὅτι εὑρίσκεται εἰς ἐμένα κακόν.

22 Διατὶ συγχαίρω εἰς τὸν νόμον τοῦ Θεοῦ κατὰ τὸν μέσα ἄνθρωπον·

23 Ἀλλὰ βλέπω ἄλλον νόμον εἰς τὰ μέλη μου, ὁποῦ ἀντιστρατεύεται εἰς τὸν νόμον τοῦ νοός μου, καὶ ὁπού με σκλαβώνει εἰς τὸν νόμον τῆς ἁμαρτίας, ὁποῦ εἶναι μέσα εἰς τὰ μέλη μου.

24 Ταλαίπωρος ἄνθρωπος ἐγώ· ποῖος θέλει με ἐλευθερώσει ἀπὸ τὸ σῶμα ἐτοῦτο τοῦ θανάτου;

25 Εὐχαριστῶ τὸν Θεὸν διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας.

Ἄρα οὖν αὐτὸς ἐγὼ τῷ μὲν νοῒ δουλεύω νόμον Θεοῦ· τῇ δὲ σαρκὶ, νόμῳ ἁμαρτίας.

Λοιπὸν αὐτὸς ἐγὼ μὲ τὸν νοῦν δουλεύω τὸν νόμον τοῦ Θεοῦ, ἀμὴ μὲ τὴν σάρκα, τὸν νόμον τῆς ἁμαρτίας.

Κεφ. η'. 8.

Οὐδὲν ἄρα νῦν κατάκριμα τοῖς ἐν Χριστῷ Ἰησοῦ, μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα.

Τῶρα λοιπὸν δὲν εἶναι κανένα κατάκριμα εἰς ἐκείνους ὁποῦ εἶναι εἰς τὸν Χριστὸν Ἰησοῦν, καὶ δὲν περιπατοῦσι κατὰ τὴν σάρκα, ἀλλὰ κατὰ τὸ πνεῦμα.

2 Ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ, ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου.

2 Διατὶ ὁ νόμος τοῦ πνεύματος τῆς ζωῆς, ὁποῦ εἶναι εἰς τὸν Χριστὸν Ἰησοῦν, μὲ ἐλευθέρωσεν ἀπὸ τὸν νόμον τῆς ἁμαρτίας καὶ τοῦ θανάτου.

3 Τὸ γὰρ ἀδύνατον τοῦ νόμου ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ·

3 Διατὶ ἐκεῖνο ὁποῦ δὲν ἐδύνετον νὰ κάμῃ ὁ νόμος, εἰς τὸ ὁποῖον ἦτον ἀσθενὴς εἰς τὴν σάρκα, ὁ Θεὸς πέμποντας τὸν υἱόν του, μὲ ὁμοίωμα σάρκας ἁμαρτωλῆς, καὶ διὰ τὴν ἁμαρτίαν, ἐπατάκρινε τὴν ἁμαρτίαν εἰς τὴν σάρκα·

4 ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα.

4 Διὰ νὰ πληρωθῇ τὸ δικαίωμα τοῦ νόμου εἰς ἡμᾶς, ὁποῦ δὲν περιπατοῦμεν κατὰ τὴν σάρκα, ἀλλὰ κατὰ τὸ πνεῦμα.

5 Οἱ γὰρ κατὰ σάρκα ὄντες, τὰ τῆς σαρκὸς φρονοῦσιν· οἱ δὲ κατὰ πνεῦμα, τὰ τοῦ πνεύματος.

5 Διατὶ ἐκεῖνο ὁποῦ εἶναι κατὰ τὴν σάρκα, φρονοῦσι τὰ πράγματα τῆς σαρκὸς· καὶ ἐκεῖνοι ὁποῦ εἶναι κατὰ τὸ πνεῦμα, φρονοῦσι τὰ πράγματα τοῦ πνεύματος.

6 Τὸ γὰρ φρόνημα τῆς

6 Διατὶ τὸ φρόνημα τῆς

σαρκὸς, θάνατος· τὸ δὲ φρόνημα τοῦ πνεύματος, ζωὴ καὶ εἰρήνη.

7 Διότι τὸ φρόνημα τῆς σαρκὸς, ἔχθρα εἰς Θεόν· τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται· οὐδὲ γὰρ δύναται.

8 Οἱ δὲ ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται.

9 Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι, εἴπερ πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν· εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ.

10 Εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα νεκρὸν διὰ ἁμαρτίαν· τὸ δὲ πνεῦμα, ζωὴ διὰ δικαιοσύνην.

11 Εἰ δὲ τὸ πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας τὸν Χριστὸν ἐκ νεκρῶν, ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν, διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν ὑμῖν.

12 Ἄρα οὖν, ἀδελφοὶ, ὀφειλέται ἐσμὲν οὐ τῇ σαρκὶ, τοῦ κατὰ σάρκα ζῆν.

13 Εἰ γὰρ κατὰ σάρκα ζῆτε, μέλλετε ἀποθνήσκειν· εἰ δὲ πνεύματι τὰς πράξεις

σαρκὸς εἶναι θάνατος· ἀπὸ τὸ φρόνημα τοῦ πνεύματος, εἶναι ζωὴν καὶ εἰρήνην.

7 Διατὶ τὸ φρόνημα τῆς σαρκὸς, εἶναι ἔχθρα εἰς τὸν Θεόν· διατὶ δὲν ὑποτάσσεται εἰς τὸν νόμον τοῦ Θεοῦ· οὐτὲ δὲν ἠμπορεῖ.

8 Καὶ ἐκεῖνοι ὁποῦ εἶναι εἰς τὴν σάρκα, δὲν ἠμπορεῖν νὰ ἀρέσουν τοῦ Θεοῦ.

9 Ἀμὴ ἐσεῖς δὲν εἴσθε σαρκικοί, ἀλλὰ πνευματικοί, ἂν τὸ πνεῦμα τοῦ Θεοῦ κατοικᾷ εἰς ἐσᾶς· ἀμὰν ἂν τινὰς δὲν ἔχει πνεῦμα Χριστοῦ, ἐκεῖνος δὲν εἶναι τοῦ Χριστοῦ.

10 Καὶ ἂν ὁ Χριστὸς εἶναι εἰς ἐσᾶς, τὸ μὲν κορμὶ εἶναι νεκρὸν, διὰ τὴν ἁμαρτίαν· ἀμὰ τὸ πνεῦμα εἶναι ζωὴ διὰ τὴν δικαιοσύνην.

11 Ἀμὴ καὶ ἂν ἐσεῖνον ὁποῦ ἀνάστησε τὸν Ἰησοῦν ἐκ νεκρῶν κατοικᾷ εἰς ἐσᾶς, ἐκεῖνος ὁποῦ ἀνάστησε τὸν Χριστὸν ἐκ νεκρῶν, θέλει ζωοποιήσει καὶ τὰ θνητὰ σας κορμία, διὰ μέσου τοῦ πνεύματός του ὁποῦ κατοικᾷ εἰς ἐσᾶς.

12 Λοιπὸν, ἀδελφοὶ, χρεωσταὶ εἴμεσθεν ἡμεῖς, ὄχι εἰς τὴν σάρκα, νὰ ζοῦμεν σαρκικῶς.

13 Διατὶ ἂν ζῆτε σαρκικῶς, μέλλετε νὰ ἀποθάνετε· ἀμὰ ἂν θανατώνετε ταῖς πράξεις

τῷ σώματι θανατῶτι, ζη-

14 Ὅσοι γὰρ πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ.

15 Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν, Ἀββᾶ ὁ πατήρ.

16 Αὐτὸ τὸ πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν ὅτι ἐσμὲν τέκνα Θεοῦ.

17 Εἰ δὲ τέκνα κληρονόμοι· κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ· εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν.

18 Λογίζομαι γὰρ ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς

19 Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχε-

20 Τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαν-

21 Ἐφ' ἐλπίδι, ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς

τοῦ κυρίου μὲ τὸ πνεῦμα, θέλει ζήσει.

14 Διατὶ ὅσοι (ἄνθρωποι) κυβερνῶνται μὲ τὸ πνεῦμα τοῦ Θεοῦ, ἐκεῖνοι εἶναι υἱοὶ Θεοῦ.

15 Διατὶ δὲν ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλὰ ἐλάβετε πνεῦμα τῆς υἱοθεσίας, μὲ τὸ ὁποῖον κράζομεν, Ἀββᾶ ὁ πατήρ.

16 Αὐτὸ τὸ πνεῦμα εἷς τὸ πνεῦμά μας συμμαρτυρεῖ, ὅτι εἴμεσθε τέκνα τοῦ Θεοῦ.

17 Καὶ ἐὰν εἴμεσθε τέκνα, εἴμεσθε καὶ κληρονόμοι· κληρονόμοι μὲν τοῦ Θεοῦ, καὶ συγκληρονόμοι τοῦ Χριστοῦ, ἐὰν πάσχομεν μαζὺ (μὲ τὸν Χριστὸν) διὰ νὰ δοξασθῶμεν μαζὺ μὲ αὐτόν.

18 Διατὶ λογαριάζω ὅτι τὰ παθήματα ἐκεῖνα τοῦ καιροῦ δὲν εἶναι ἄξια εἰς τὴν δόξαν ὁπού μέλλει νὰ ἀποκαλυφθῇ εἰς ἐμᾶς.

19 Διατὶ ἡ κτίσις ἀπαντίχει, ἐλπίζησα τὴν φανέρωσιν τῶν υἱῶν τοῦ Θεοῦ.

20 Διατὶ ἡ κτίσις ὑποτάχθη εἰς τὴν ματαιότητα, ὄχι θεληματικὴ ἀλλὰ διὰ ἐκεῖνον ὁπού τὴν ὑπόταξεν (εἰς τὴν ματαιότητα ἐκείνην.)

21 Μὲ ἐλπίδα, ὅτι καὶ αὐτὴ ἡ κτίσις θέλει ἐλευθερωθῆ ἀπὸ τὴν σκλαβιὰν τῆς φθορᾶς, εἰς

φθορας εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ.

22 Οἴδαμεν γὰρ ὅτι πᾶσα ἡ κτίσις συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν.

23 Οὐ μόνον δὲ, ἀλλὰ καὶ αὐτοὶ τὴν ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες, καὶ ἡμεῖς αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν, υἱοθεσίαν ἀπεκδεχόμενοι, τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν.

24 Τῇ γὰρ ἐλπίδι ἐσώθημεν· ἐλπὶς δὲ βλεπομένη, οὐκ ἔστιν ἐλπίς· ὃ γὰρ βλέπει τις, τί καὶ ἐλπίζει;

25 Εἰ δὲ ὃ οὐ βλέπομεν, ἐλπίζομεν, δι' ὑπομονῆς ἀπεκδεχόμεθα.

26 Ὡσαύτως δὲ καὶ τὸ Πνεῦμα συναντιλαμβάνεται ταῖς ἀσθενείαις ἡμῶν· τὸ γὰρ τί προσευξώμεθα καθὸ δεῖ, οὐκ οἴδαμεν, ἀλλ' αὐτὸ τὸ Πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις.

27 Ὁ δὲ ἐρευνῶν τὰς καρδίας, οἶδε τί τὸ φρόνημα τοῦ Πνεύματος, ὅτι κατὰ Θεὸν ἐντυγχάνει ὑπὲρ ἁγίων.

28 Οἴδαμεν δὲ ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν, πάντα συνεργεῖ εἰς ἀγαθὸν, τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν.

τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ.

22 Διατὶ ἐξεύρομεν ὅτι ὅλη ἡ κτίσις ἀναστενάζει μαζὶ καὶ συμπονεῖ ἕως τώρα.

23 Καὶ ὄχι μόνον ἡ κτίσις, ἀλλὰ καὶ αὐτοὶ ἡμεῖς, ἔχοντας τὰ ὄχαμεν τὴν ἀπαρχὴν τοῦ πνεύματος, καὶ ἡμεῖς αὐτοὶ (λέγω) ἀναστενάζομεν μέσα μας, ἀπαντιχαιόμενοι υἱοθεσίαν, τὴν ἐλευθέρωσιν τοῦ κορμιοῦ μας.

24 Διατὶ ἐμεῖς εἴμεθα τὴν ἐλπίδα ἐσώθημεν· καὶ ἡ ἐλπὶς ἡ βλεπομένη, δὲν εἶναι ἐλπίς· διατὶ ἐκεῖνο ὁποῦ βλέπει κανεὶς, διατὶ τὸ ἐλπίζει πλιός;

25 Ἀμὴ ἐὰν ἐκεῖνο ὁποῦ δὲν βλέπομεν, ἐλπίζομεν, τὸ ἀπαντιχαιόμεθα μὲ ὑπομονήν.

26 Ὁμοίως καὶ τὸ Πνεῦμα βοηθεῖ εἰς ταῖς ἀσθενείαις μας· ὅτι δὲν ἐξεύρομεν τί νὰ προσευχηθοῦμεν, καθὼς πρέπει, ἀλλ' αὐτὸ τὸ Πνεῦμα παρακαλεῖ διὰ λόγου μας μὲ στεναγμοὺς ἀλαλήτους.

27 Καὶ ἐκεῖνος ὁποῦ ἐξετάζει ταῖς καρδίαις, ἐξεύρει τί εἶναι τὸ φρόνημα τοῦ Πνεύματος, ὅτι παρακαλεῖ διὰ τοὺς ἁγίους κατὰ Θεόν.

28 Καὶ ἐξεύρομεν, ὅτι εἰς τὰ πράγματα συνεργάσεται τὸ ἀγαθὸν, εἰς ἐκείνους ὁποῦ

τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσι.

29 Ὅτι οὓς προέγνω, καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς.

30 Οὓς δὲ προώρισε, τούτους καὶ ἐκάλεσε· καὶ οὓς ἐκάλεσε, τούτους καὶ ἐδικαίωσε· οὓς δὲ ἐδικαίωσε, τούτους καὶ ἐδόξασε.

31 Τί οὖν ἐροῦμεν πρὸς ταῦτα; εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν;

32 Ὃς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλὰ ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται;

33 Τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ; Θεὸς ὁ δικαιῶν.

34 Τίς ὁ κατακρινῶν; Χριστὸς ὁ ἀποθανών, μᾶλλον δὲ καὶ ἐγερθείς, ὃς καί ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν.

35 Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖ-

ἀγαπῶσι τὸν Θεόν, οἱ σποῦδες εἶναι κεκλημένοι κατὰ τὴν πρόθεσίν του.

29 Ὅτι ἐκείνους ὅπου προεγνώρισεν (ὁ Θεὸς) αὐτοὺς καὶ προώρισε νὰ γενοῦν ὁμοιοι τῆς εἰκόνος τοῦ υἱοῦ του, διὰ νὰ εἶναι αὐτὸς πρωτότοκος ἀνάμεσα εἰς πολλοὺς ἀδελφούς.

30 Καὶ ἐκείνους ὁποὺ προώρισεν, ἐκείνους καὶ ἐκάλεσε· καὶ ἐκείνους ὁποὺ ἐκάλεσεν, ἐκείνους καὶ ἐδικαίωσε· καὶ ὅσους ἐδικαίωσεν, ἐκείνους καὶ ἐδόξασε.

31 Τί θέλομεν εἰπεῖ λοιπὸν εἰς ἐτοῦτα; ἂν ὁ Θεὸς εἶναι διατ' ἡμᾶς, τίς θέλει ἠμπορεῖ νὰ ἐναντιωθῇ μας;

32 Ὁ ὁποῖος δὲν ἐφυχονοήθη τὸν ἴδιόν του υἱόν, ἀλλὰ διὰ ὅλους μᾶς τὸν ἐπαράδωκε, πῶς δὲν θέλει μᾶς χαρίσῃ μαζὺ μὲ αὐτὸν καὶ ὅλα τὰ πράγματα;

33 Τίς ἠμπορεῖ νὰ ἐγκαλέσῃ ἐναντία τῶν ἐκλεκτῶν τοῦ Θεοῦ; Ὁ Θεὸς εἶναι ὁποῦ δικαιώνει.

34 Ποῖος εἶναι ὁποῦ κατακρίνει; Ὁ Χριστὸς εἶναι ὁποῦ ἀπέθανε, καὶ περισσότερον ἐσηκώθη καὶ ἀνέστη, ὁ ὁποῖος καὶ εἶναι εἰς τὴν δεξιὰν τοῦ Θεοῦ, καὶ παρακαλεῖ διὰ λόγου μας.

35 Τίς θέλει μᾶς χωρίσει ἀπὸ τὴν ἀγάπην τοῦ Χριστοῦ;

ψις, ἡ στενοχωρία, ἡ διωγμος, ἡ λιμος, ἡ γυμνοτης, ἡ κίνδυνος, ἡ μάχαιρα;

36 (Καθως γεγραπται· Ὁτι ἕνεκά σου θανατουμεθα ὅλην τὴν ἡμέραν· ἐλογισθημεν ὡς πρόβατα σφαγῆς.)

37 Ἀλλ ἐν τουτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς.

38 Πεπεισμαι γαρ ὁτι οὔτε θάνατος, οὔτε ζωὴ, οὔτε ἄγγελοι, οὔτε ἀρχαὶ, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα,

39 Οὐτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δύνησεται ἡμας χωρίσαι ἀπὸ τῆς ἀγάπης, τοῦ Θεοῦ, της ἐν Χριστῷ Ἰησου τῷ Κυρίῳ ἡμῶν.

Θλῖψις, ἡ στενοχωρια, ἡ διωγμος, ἡ πεῖνα, ἡ γυμνοτης, ἡ κινδυνος, ἡ μάχαιρα;

36 (Καθως εἶναι γεγραμμένον· Ὁτι διὰ λόγου σου θανατωνόμεσθα καθ' ἡμέραν· ὡσαι πρόβατα τῆς σφαγῆς ἐλογισθήκαμεν.)

37 Ἀλλα μεταξυ αὐτων ὅλα ταῦτα ἡμεῖς ὑπερνικῶμεν διὰ μέσου ἐκείνου ὁπου μας ἀγαπησε.

38 Διατὶ βεβαιόνω ὅτι οὐδὲ θάνατος, οὐδὲ ζωὴ, καὶ ἄγγελοι, οὐδὲ ἀρχαὶ, οὐδὲ ἐξουσιαι, οὐδὲ τὰ παρόντα, οὐδὲ τὰ μέλλοντα,

39 Οὐδὲ ὕψος, οὐδὲ βάθος, οὐδὲ καμία ἄλλη κτίσις, θέλει δυνηθῆ νὰ μας χωρίσῃ ἀπὸ τὴν ἀγάπην τοῦ Θεοῦ, ἡ ὁποία εἶναι εἰς τὸν Κύριον μας Ἰησοῦν Χριστόν.

Κεφ. Θ'. 9.

Ἀληθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, (συμμαρτυρούσης μοι τῆς συνειδησεώς μου ἐν Πνεύματι ἁγίῳ,)

2 Ὁτι λύπη μοι ἐστὶ μεγάλη, καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου.

3 Ηὐχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου κατα σάρκα·

Ἀληθειαν λέγω εἰς Χριστὸν, καὶ δὲν ψεύδομαι, (ἐπειδὴ τὰς νὰ μὲ συμμαρτυρῇ ἡ συνειδησις μου εἰς Πνεῦμα ἅγιον,)

2 Ὅτι ἔχω μεγάλην λύπην, καὶ πανοτεινὸν πονον εἰς την καρδίαν μου.

3 Διατὶ αὐτὸς ἐγὼ ἐπιθυμουν νὰ εἶμαι χωρισμένος ἀπὸ τὸν Χριστὸν, διὰ τοὺς ἀδελφούς μου τοὺς συγγενεῖς μου κατα σάρκα·

4 Οἵτινές εἰσιν Ἰσραηλῖται, ὧν ἡ υἱοθεσία καὶ ἡ δόξα καὶ αἱ διαθῆκαι καὶ ἡ νομοθεσία καὶ ἡ λατρεία καὶ αἱ ἐπαγγελίαι·

5 Ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας· ἀμήν.

6 Οὐχ οἷον δὲ ὅτι ἐκπέπτωκε τοῦτο ὁ λόγος τοῦ Θεοῦ· οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ, οὗτοι Ἰσραήλ·

7 Οὐδ' ὅτι εἰσὶ σπέρμα Ἀβραάμ, πάντες τέκνα· ἀλλ' Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα.

8 Τουτέστι, οὐ τὰ τέκνα τῆς σαρκὸς, ταῦτα τέκνα τοῦ Θεοῦ· ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας, λογίζεται εἰς σπέρμα.

9 Ἐπαγγελίας γὰρ ὁ λόγος οὗτος· Κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι, καὶ ἔσται τῇ Σάρρᾳ υἱός.

10 Οὐ μόνον δὲ, ἀλλὰ καὶ Ῥεβέκκα, ἐξ ἑνὸς κοίτην ἔχουσα, Ἰσαὰκ τοῦ πατρὸς ἡμῶν.

4 Οἱ ὁποῖοι εἶναι Ἰσραηλῖται· τῶν ὁποίων εἶναι ἡ υἱοθεσία, καὶ ἡ δόξα, καὶ αἱ διαθῆκαι, καὶ ἡ νομοθεσία, καὶ ἡ λατρεία, καὶ τὰ ταξίματα·

5 Τῶν ὁποίων Ἰσραηλιτῶν εἶναι οἱ πατέρες, καὶ ἀπὸ τοὺς ὁποίους εἶναι ὁ Χριστὸς, ὅσον εἰς τὴν σάρκα, ὁ ὁποῖος εἶναι ἀπάνω εἰς ὅλα Θεὸς εὐλογημένος εἰς τοὺς αἰῶνας· ἀμήν.

6 Καὶ δὲν εἶναι δυνατὸν νὰ ἐξέπεσε ὁ λόγος τοῦ Θεοῦ· διατὶ δὲν ἔχουν ὅλοι ὅπου εἶναι ἀπὸ τὸ γένος τοῦ Ἰσραήλ, ἐκεῖνοι εἶναι καὶ Ἰσραηλῖται·

7 Οὐδὲ ὅτι εἶναι σπέρμα τοῦ Ἀβραάμ, εἶναι ὅλοι τέκνα τοῦ Ἀβραάμ· ἀλλὰ λέγει, Εἰς τὸν Ἰσαὰκ θέλει κληθῇ τὸ σπέρμα σου.

8 Ἤγουν, δὲν τὰ τέκνα τῆς σαρκὸς, αὐτὰ εἶναι τὰ τέκνα τοῦ Θεοῦ· ἀλλὰ τὰ τέκνα τοῦ ταξίματος, λογαριάζονται πὼς εἶναι σπέρμα.

9 Διατὶ ὁ λόγος τοῦ ταξίματος ἐτοῦτος εἶναι· Θέλω ἐλθῃ εἰς τὸν καιρὸν ἐτοῦτον, καὶ ἡ Σάρρα θέλει ἔχει υἱόν.

10 Καὶ δὲν μόνον ἐτοῦτο, (ὁποῦ εἴπαμεν,) ἀλλὰ καὶ ἡ Ῥεβέκκα, ἔχοντας τὰ συλλάβη ἀπὸ ἕνα, (ἤγουν,) τὸν πατέρα μας τὸν Ἰσαάκ, (τὰ ὁμοῖον εἴπεσι.)

11 Μηπω γαρ γενηθέντων, μηδε πραξάντων τι αγαθον ἢ κακὸν, ἵνα ἡ κατ' ἐκλογην τοῦ Θεοῦ πρόθεσις μένη, οὐκ ἐξ ἔργων, ἀλλ' ἐκ τοῦ καλοῦντος,

12 Ἐρρέθη αὐτῇ· Ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι.

13 Καθως γέγραπται· Τὸν Ἰακωβ ἠγάπησα, τὸν δὲ Ησαυ ἐμίσησα.

14 Τί οὖν ἐροῦμεν; Μὴ ἀδικία παρα τῷ Θεῷ; Μὴ γένοιτο.

15 Τῳ γαρ Μωσῇ λέγει· Ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω, ὃν ἂν οἰκτείρω.

16 Ἄρα οὖν οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεῶντος Θεοῦ.

17 Λέγει γαρ ἡ γραφὴ τῷ Φαραω· Ὅτι εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ.

18 Ἄρα οὖν ὃν θέλει, ἐλεεῖ· ὃν δὲ θέλει, σκληρύνει.

19 Ἐρεῖς οὖν μοι· Τί ἔτι μέμφεται; τῷ βουλήματι αὐτοῦ τίς ἀνθέστηκε;

11 Διατι (ἀκόμι τότε πρὸ τὸ νὰ γενηθοῦν τα δύο παιδία, καὶ πρὸ τὸ νὰ κάμουν τίποτες καλὸν ἢ κακὸν, διὰ νὰ μένῃ ἡ πρόθεσις τοῦ Θεοῦ ὅπου εἶναι κατ' ἐκλογὴν, ὄχι ἀπὸ τὰ ἔργα, ἀλλ' ἀπ' ἐκεῖνον ὁπου καλεῖ,

12 Ελαλήθηκε αὐτῇ, (τῆς Ρεβέκκα·) Ὅτι ὁ μεγαλήτερος θέλει δουλεύσει τὸν μικρότερον.

13 Καθως εἶναι γεγραμμένον· Τὸν Ἰακωβ ἀγάπησα, καὶ τὸν Ησαυ ἐμίσησα.

14 Τί θέλομεν εἰπεῖ λοιπόν; Μήπως καὶ εἶναι ἀδικία εἰς τὸν Θεόν; Μὴ γένοιτο.

15 Διατὶ λέγει εἰς τὸν Μωσῆν· Θέλω ἐλεήσει, ἐκεῖνον ὁπου ἐλεῶ, καὶ θέλω σπλαγχνισθῆ, ἐκεῖνον ὁπου σπλαγχνίζομαι.

16 Ἄρα λοιπὸν δὲν τὸ θέλοντος εἶναι, οὐδὲ τὸ τρέχοντος, ἀλλὰ τοῦ Θεοῦ ὁπου κάμνει τὸ ἐλεῶ.

17 Διατὶ λέγει ἡ γραφὴ διὰ τὸν Φαραὼ· Ὅτι εἰς τοῦτο αὐτὸ σὲ ἐσήκωσα, διὰ νὰ δείξω εἰς ἐσένα τὴν δυναμίν μου, καὶ διὰ νὰ φημισθῇ τὸ ὄνομά μου εἰς ὅλην τὴν γῆν.

18 Ἐκεῖνον λοιπὸν τὸν ὁποῖον θέλει ὁ Θεός, ἐλεεῖ· καὶ ἐκεῖνον ὁπου θέλει, σκληρύνει.

19 Λοιπὸν θέλεις μου εἰπεῖ· Καὶ διατὶ ἀκόμι μεμφεται (ὁ Θεός;) διατὶ τίς ἐστάθηκε εἰς τὸ θέλημά του;

20 Μενοῦνγε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; Μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι· Τί με ἐποίησας οὕτως;

20 Ἀλλά, ὦ ἄνθρωπε, ποῖος εἶσαι σὺ ὅπου ἀνταποκρίνεσαι τὸν Θεόν; Μήνα λέγει τὸ πλάσμα εἰς ἐκεῖνον ὁπού τὸ ἔπλασε· Διατί μὲ ἔκαμες ἔτζι;

21 Ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ, ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι, ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν;

21 Ἢ δὲν ἔχει ἐξουσίαν ὁ κεραμιδᾶς, ἀπὸ τὴν αὐτὴν λάσπην νὰ κάμῃ, ἄλλο μὲν ἀγγεῖον εἰς τιμὴν, καὶ ἄλλο εἰς ἀτιμίαν;

22 Εἰ δὲ θέλων ὁ Θεὸς ἐνδείξασθαι τὴν ὀργὴν, καὶ γνωρίσαι τὸ δυνατὸν αὐτοῦ, ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν;

22 Ἄμπ ἀπίσως καὶ ὁ Θεὸς θέλοντας νὰ δείξῃ τὴν ὀργήν του, καὶ νὰ κάμῃ νὰ γνωρίσουν τὴν δύναμίν του, ὑπόφερε μὲ πολλὴν μακροθυμίαν ἀγγεῖα τῆς ὀργῆς, κατασκευασμένα εἰς ἀπώλειαν;

23 Καὶ ἵνα γνωρίσῃ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ ἐπὶ σκεύη ἐλέους, ἃ προητοίμασεν εἰς δόξαν;

23 Καὶ διὰ νὰ κάμῃ γνώριμον τὸν πλοῦτον τῆς δόξης του, εἰς σκεύη ἐλέους, τὰ ὁποῖα προητοίμασεν εἰς δόξαν;

24 Οὓς καὶ ἐκάλεσεν ἡμᾶς, οὐ μόνον ἐξ Ἰουδαίων, ἀλλὰ καὶ ἐξ ἐθνῶν.

24 Τοὺς ὁποίους καὶ μᾶς ἐκάλεσεν, ὄχι μόνον ἀπὸ τοὺς Ἰουδαίους, ἀλλὰ καὶ ἀπὸ τὰ ἔθνη.

25 Ὡς καὶ ἐν τῷ Ὡσηὲ λέγει· Καλέσω τὸν οὐ λαόν μου, λαόν μου· καὶ τὴν οὐκ ἠγαπημένην, ἠγαπημένην.

25 Καθὼς λέγει καὶ εἰς τὸν Ὡσηέ· Ἐκεῖνον ὁπού δὲν εἶναι λαός μου, θέλω τὸν ὀνομάσει λαόν μου· καὶ ἐκείνην ὁπού δὲν εἶναι ἀγαπημένη, θέλω τὴν ὀνομάσει ἀγαπημένην.

26 Καὶ ἔσται, ἐν τῷ τόπῳ οὗ ἐρρέθη αὐτοῖς· Οὐ λαός μου ὑμεῖς, ἐκεῖ κληθήσονται υἱοὶ Θεοῦ ζῶντος.

26 Καὶ θέλει εἶσθαι, εἰς τὸν τόπον ἐκεῖνον ὁπού εἰλαλήθη εἰς αὐτούς· Ἐσεῖς δὲν εἶσθε λαός μου, ἐκεῖ θέλουσι καλεσθῆ οἱ υἱοὶ τοῦ Θεοῦ τοῦ ζῶντος.

27 Ἡσαΐας δὲ κράζει ὑπὲρ τοῦ Ἰσραήλ· Ἐὰν ᾖ ὁ ἀριθμὸς

27 Καὶ ὁ Ἡσαΐας κράζει διὰ τὸν Ἰσραήλ· Ἐὰν ἦθελε

των υιων Ισραηλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθησεται.

28 Λογον γαρ συντελων καὶ συντεμνων ἐν δικαιοσύνῃ, ὁτι λογον συντετμημενον ποιησει Κύριος ἐπὶ τῆς γης.

29 Καὶ καθως προειρηκεν Ησαΐας· Εἰ μη Κύριος Σαβαωθ ἐγκατελιπεν ἡμιν σπερμα, ὡς Σόδομα ἂν ἐγενηθημεν, καὶ ὡς Γομορρα ἂν ὡμοιωθημεν.

30 Τί οὖν ἐρουμεν; Ὁτι ἔθνη τὰ μη διωκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνη, δικαιοσύνη δὲ τὴν ἐκ πίστεως.

31 Ἰσραηλ δὲ διωκων νόμον δικαιοσύνης, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασε.

32 Διατί; Ὁτι οὐκ ἐκ πίστεως, ἀλλ' ὡς ἐξ ἐργων νόμου· προσεκοψαν γὰρ τῷ λίθῳ τῷ προσκόμματος·

33 Καθως γεγραπται· Ἰδου, τίθημι ἐν Σιων λιθον προσκόμματος, καὶ πέτραν σκανδάλου· καὶ πας ὁ πιστευων ἐπ' αὐτῳ, οὐ καταισχυνθησεται.

ἐσθαι ὁ ἀριθμὸς τῶν υἱῶν τοῦ Ἰσραηλ ὡσαν ὁ ἄμμος τῆς θαλάσσης, τὸ λείψανον θέλει σωθῆναι.

28 Διατὶ λογαριασμὸν θέλει συντέμει καὶ θέλει τελειώσει μὲ δικαιοσύνην, ὁτι θέλει κάμει ὁ Κύριος λογαριασμὸν συντομον ἀπάνω εἰς τὴν γῆν.

29 Καὶ καθὼς προεῖπεν ὁ Ησαΐας· Αἰ δὲ θέλει μᾶς ἄφησει ὁ Κύριος Σαβαωθ σπέρμα, θέλαμεν γένει ὡσαν τὰ Σόδομα, καὶ ὡσὰν τὰ Γομορρα θέλαμεν ὁμοιωθῆ.

30 Τί θέλομεν εἰπεῖ λοιπόν; Ὁτι τὰ ἔθνη ὁπου δὲν ἐκυνηγοῦσαν δικαιοσύνην, ἔφθασαν τὴν δικαιοσύνην, δικαιοσύνην (λέγω) ὁπου εἶναι ἀπὸ πίστιν.

31 Ἀλλὰ ὁ Ἰσραηλ κυνηγῶντας νόμου τῆς δικαιοσύνης, δὲν ἔφθασεν εἰς τὸν νόμον τῆς δικαιοσύνης.

32 Διατί; Ὁτι δὲν ἐζήτησε δικαιοσύνην ἀπὸ τὴν πίστιν, ἀλλα, ὡσὰν ἀπὸ τὰ ἔργα τοῦ νόμου· διατὶ ἐσκόνταψαν εἰς τὴν πέτραν τοῦ σκανδάλου·

33 Καθως εἶναι γεγραμμένον· Να, ὁπου βάλλω εἰς τὴν Σιων πέτραν σκοντάμματος καὶ πέτραν σκανδάλου· καὶ κάθε ἕνας ὁπου πιστεύει εἰς αὐτον, δὲν θέλει ἐντροπιασθῆ.

Κεφ. ι'. 10.

Α Διλφοὶ, ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας, καὶ ἡ δέησις πρὸς τὸν Θεὸν, ὑπὲρ τοῦ Ἰσραὴλ εἶναι εἰς σωτηρίαν.

2 Μαρτυρῶ γὰρ αὐτοῖς ὅτι ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν·

3 Ἀγνοοῦντες γὰρ τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν.

4 Τέλος γὰρ νόμου Χριστὸς, εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι.

5 Μωσῆς γὰρ γράφει τὴν δικαιοσύνην τὴν ἐκ τοῦ νόμου, ὅτι ὁ ποιήσας αὐτὰ ἄνθρωπος, ζήσεται ἐν αὐτοῖς.

6 Ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτω λέγει· Μὴ εἴπῃς ἐν καρδίᾳ σου· Τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; Τοῦτ' ἔστι Χριστὸν καταγαγεῖν.

7 Ἢ· Τίς καταβήσεται εἰς τὴν ἄβυσσον; Τοῦτ' ἔστι Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν.

8 Ἀλλὰ τί λέγει; Ἐγγύς σου τὸ ῥῆμά ἐστιν ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου, τοῦτ'

Α Διλφοὶ, ἡ ἐπιθυμία τῆς ἐδικῆς μου καρδίας, καὶ ἡ παρακάλεσίς μου εἰς τὸν Θεὸν, διὰ τὸν Ἰσραὴλ εἶναι διὰ τὴν σωτηρίαν του.

2 Διατὶ τοὺς μαρτυρῶ ὅτι ἔχουσι ζῆλον Θεοῦ, ἀλλὰ ὄχι μὲ γνῶσιν·

3 Διατὶ ἔχοντας νὰ μὴν γνωρίζουσι τὴν δικαιοσύνην τοῦ Θεοῦ, καὶ νὰ ζητοῦσι νὰ στήσουσι τὴν δικαιοσύνην τὴν ἐδικήν των, δὲν ὑποτάχθηκαν εἰς τὴν δικαιοσύνην τοῦ Θεοῦ.

4 Διατὶ τὸ τέλος τοῦ νόμου εἶναι ὁ Χριστὸς εἰς δικαιοσύνην, εἰς κάθε ἕνα ὁποὺ πιστεύει.

5 Διατὶ ὁ Μωϋσῆς γράφει τὴν δικαιοσύνην ὁποὺ εἶναι ἀπὸ τὸν νόμον, λέγοντας ὅτι ὁ ἄνθρωπος ὁποὺ κάμει αὐτὰ, θέλει ζήσει διὰ μέσα τους.

6 Ἀμὴ ἡ δικαιοσύνη ὁποὺ εἶναι ἀπὸ τὴν πίστιν, ἔτζι λέγει· Νὰ μὴν εἰπῇς μέσα εἰς τὴν καρδίαν σου· Τίς θέλει ἀνέβῃ εἰς τὸν οὐρανόν; Τοῦτ' ἔστι νὰ κατεβάσῃ τὸν Χριστόν.

7 Ἢ· Τίς θέλει κατέβῃ εἰς τὴν ἄβυσσον; Τοῦτ' ἔστι νὰ ἀνεβάσῃ ἀπάνω τὸν Χριστὸν ἐκ νεκρῶν.

8 Ἀλλὰ τί λέγει; Ὁλόγυρα εἶναι σημα σου εἰς τὸ στόμα σου, καὶ εἰς τὴν καρδίαν σου, ἤτοι

ἐστι τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν·

9 Ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου Κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ.

10 Καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην· στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν.

11 Λέγει γὰρ ἡ γραφή· Πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ καταισχυνθήσεται.

12 Οὐ γάρ ἐστι διαστολὴ Ἰουδαίου τε καὶ Ἕλληνος· ὁ γὰρ αὐτὸς Κύριος πάντων, πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμένους αὐτόν.

13 Πᾶς γὰρ ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται.

14 Πῶς οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευσαν; Πῶς δὲ πιστεύσουσιν οὗ οὐκ ἤκουσαν; Πῶς δὲ ἀκούσουσι χωρὶς κηρύσσοντος;

15 Πῶς δὲ κηρύξουσιν ἐὰν μὴ ἀποσταλῶσι; Καθὼς γέγραπται· Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά.

16 Ἀλλ' οὐ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ. Ἡσαΐας γὰρ τοῦ ὀλιγοστὸς τῆς πίστεως, τοῦ ὁποίου κηρύττομεν·

18 Τίσι δὲ ὤμοσε μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ, εἰ μὴ τοῖς ἀπειθήσασι;

19 Καὶ βλέπομεν ὅτι οὐ ἠδυνήθησαν εἰσελθεῖν δι' ἀπιστίαν.

13 Ἀλλὰ νουθετᾶτε ἑαυτοὺς τὰς ἄλλας πᾶσαν ἡμέραν, ἕως οὗ καλεῖται τὸ σήμερον· διὰ τὸ μὴ σκληρυνθῆ κανεὶς ἀπ' ἐσᾶς μὲ τὴν ἀπάτην της ἁμαρτίας·

14 Διατὶ ἐγίναμεν κοινωνοὶ τοῦ Χριστοῦ, ἐὰν κρατῶμεν τὴν ἀρχὴν της ὑποστάσεως βεβαίαν ἕως το τέλος·

15 Ἐνῶ ὅπου λέγεται· Σήμερον ἐὰν ἀκούσητε τὴν φωνήν του, μὴν σκληρύνετε ταῖς καρδίαις σας, ὡς εἰς τὸ παραπικρασμό.

16 Διατὶ τινες ὅπου τὴν ἄκουσαν, ἐπαρακίνησαν τον Θεὸν εἰς ὀργήν· ἄλλα ὄχι ὅλοι ἐκεῖνοι ὅπου βγῆκαν ἀπὸ τὴν Αἴγυπτον διαμέσου τοῦ Μωυσέως.

17 Καὶ εἰς ποιους ἐβαρυπάτησεν σαράντα χρόνους; Ὄχι ταχὰ εἰς ἐκείνους ὅπου ἁμάρτησαν, των ὁποίων τὰ μέλη ἔπεσαν εἰς τὴν ἔρημον;

18 Καὶ ποιους ὥμοσεν ὅτι δὲν θέλουν νὰ ἐμβοῦσιν εἰς τὴν κατάπαυσίν του, παρὰ μονάχα ἐκείνους ὅπου ἔγιναν ἀπειθεῖς;

19 Καὶ βλέπομεν ὅτι δὲν ἠδυνήθησαν νὰ ἐμβοῦσι διὰ τὴν ἀπιστίαν.

Κιφ. δ'. 4.

Φοβηθῶμεν οὖν μήποτε καταλειπομένης ἐπαγγελίας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι.

2 Καὶ γάρ ἐσμεν εὐηγγελισμένοι, καθάπερ κἀκεῖνοι· ἀλλ' οὐκ ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνους, μὴ συγκεκραμένος τῇ πίστει τοῖς ἀκούσασιν.

3 Εἰσερχόμεθα γὰρ εἰς τὴν κατάπαυσιν οἱ πιστεύσαντες, καθὼς εἴρηκεν· Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου· καίτοι τῶν ἔργων ἀπὸ καταβολῆς κόσμου γενηθέντων.

4 Εἴρηκε γάρ που περὶ τῆς ἑβδόμης οὕτως· Καὶ κατέπαυσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ.

5 Καὶ ἐν τούτῳ πάλιν· Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.

6 Ἐπεὶ οὖν ἀπολείπεταί τινας εἰσελθεῖν εἰς αὐτήν, καὶ

Ἀς φοβηθῶμεν λοιπὸν μήπως καὶ κανένας ἀπὸ ἐσᾶς ἀφήνοντας τὸ ταξίμι τῆς εἰσόδου εἰς τὴν κατάπαυσιν, φανῇ ὰ χηρεύθηκε ἀπὸ τὴν ἄργητα.

2 Διατὶ ἠπαγγείλαε εὐαγγελίσθη καὶ εἰς ἐμᾶς, ὅπου καὶ εἰς ἐκείνους· ἀλλὰ ὁ λογαριὸ ἄκουσε δὲν τοὺς ὠφέλησε ἐκείνους, μὲ τὸ νὰ μὴν ἦταν συγκερασμένο μὲ τὸ πιστεύγιν, εἰς ἐκείνους ὁπού τὸ ἤκουσαν.

3 Διατὶ ἐμβαίνομεν εἰς τὴν κατάπαυσιν ἐσοὶ ποὺ πιστεύσαμεν, καθὰς εἶπε· Διὰ τοῦτο ὥμοσα εἰς τὴν ὀργή μου, ὅτι νὰ μὴν ἐμβοῦνε εἰς τὴν κατάπαυσίν μου· ἀφοῦ καλὰ καὶ τὰ ἔργα της ἀπὸ νὰ ἐγίνηκαν ἀπὸ τὴν ἀρχὴ τοῦ κόσμου.

4 Διατὶ ὁ Θεὸς εἶπε κάπου, διὰ τὴν ἑβδόμην ἡμέραν, τοιουτοτρόπως· Καὶ κατέπαυσεν ὁ Θεὸς εἰς τὴν ἡμέραν τὴν ἑβδόμην ἀπὸ ὅλα τὰ ἔργα.

5 Καὶ εἰς τοῦτο τὸ τόπο πάλιν εἶπε· Ἐὰν ἐμβοῦνε εἰς τὴν κατάπαυσίν μου.

6 Ἐπειδὴ λοιπὸν ἀπομένει νὰ ἐμβοῦνε τινὲς εἰς αὐτὴν, καὶ

ὁ πρότερον εὐαγγελισθέντες οὐκ εἰσῆλθον δι' ἀπείθειαν·

7 Πάλιν τινὰ ὁρίζει ἡμέραν, σήμερον, ἐν Δαβὶδ λέγων, μετὰ τοσοῦτον χρόνον· (καθὼς εἴρηται) Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν.

8 Εἰ γὰρ αὐτοὺς Ἰησοῦς κατέπαυσεν, οὐκ ἂν περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα ἡμέρας.

9 Ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ.

10 Ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ, καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός.

11 Σπουδάσωμεν οὖν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν, ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι πέσῃ τῆς ἀπειθείας.

12 Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας.

ἐκεῖνοι ἐπὶ εὐαγγελίσθησαν πρότερον, δι' ἐμβῆναι διὰ τὴν ἀπείθειαν·

7 Πάλιν ὁρίζει κάποιαν ἡμέραν, σήμερον, εἰς τὸν Δαβὶδ λέγοντας, ὕστερον ἀπὸ τόσους χρόνους· (καθὼς εἰλαλήθη) Σήμερον ἐὰν τὴν φωνὴν τοῦ ἀκούσητε, μὴ σκληρύνητε ταῖς καρδίαις σας.

8 Διατὶ ἐὰν ὁ Ἰησοῦς (τοῦ Ναυὶ) ἠθέλει τοὺς ἀναπαύσει, δὲν ἠθέλει λαλῆ διὰ ἄλλην ἡμέραν ὕστερον.

9 Λοιπὸν ἀπομένει ἀκόμι ἀνάπαυσις εἰς τὸν λαὸν τοῦ Θεοῦ·

10 Διατὶ ἐκεῖνος ὁπού ἐμβαίνει εἰς τὴν κατάπαυσίν του, καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τὰ ἔργα του, καθὼς ὁ Θεὸς (κατέπαυσεν) ἀπὸ τὰ ἰδιά του ἔργα.

11 Ἂς σπουδάσωμεν λοιπὸν νὰ ἐμβῶμεν εἰς ἐκείνην τὴν κατάπαυσιν· μήπως καὶ πέσῃ κανεὶς εἰς τὸ αὐτὸ παράδειγμα τῆς ἀπειθείας.

12 Διατὶ ὁ λόγος τοῦ Θεοῦ εἶναι ζωντανὸς, καὶ ἐνεργὴς, καὶ κοπτικώτερος περισσότερον ἀπὸ κάθε λογῆς μαχαίρι δίστομον, καὶ περνᾷ ἕως τοῦ μερισμοῦ τῆς ψυχῆς καὶ τοῦ πνεύματος, καὶ τῶν ἁρμῶν καὶ τῶν μυελῶν, καὶ ἐξαστοχᾷ τῶν ἐνθυμήσεων καὶ τῶν ἐννοιῶν τῆς καρδίας.

13 Και οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ· πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ πρὸς ὃν ἡμῖν ὁ λόγος.

14 Ἔχοντες οὖν ἀρχιερέα μέγαν, διεληλυθότα τοὺς οὐρανούς, Ἰησοῦν τὸν υἱὸν τοῦ Θεοῦ, κρατῶμεν τῆς ὁμολογίας.

15 Οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειρασμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα, χωρὶς ἁμαρτίας.

16 Προσερχώμεθα οὖν μετὰ παῤῥησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα λάβωμεν ἔλεον, καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν.

13 Καὶ δὲν εἶναι κτίσις ἀφανίστη ἐμπρόσθεν τοῦ· ἀλλὰ ὅλα εἶναι γυμνὰ καὶ ἀνοικτὰ εἰς τὰ μάτια ἐκείνου, εἰς τὸν ὁποῖον ἔχομεν νὰ δώσωμεν λογαριασμόν.

14 Ἔχοντες λοιπὸν ἀρχιερέα μέγαν, ὁποῦ διέβησε τοὺς οὐρανούς, Ἰησοῦν τὸν υἱὸν τοῦ Θεοῦ, κρατῶμεν τὴν ὁμολογίαν.

15 Διατὶ δὲν ἔχομεν ἀρχιερέα ὁποῦ νὰ μὲν δύναται νὰ συμπαθήσῃ τὰς ἀσθενείαις μας, ἀλλὰ (ἔχομεν) ἐκεῖνον ὁποῦ ἐπειράχθη εἰς ὅλα ὁμοίως, χωρὶς ἁμαρτίαν.

16 Συμφώνως λοιπὸν μὲ θάῤῥος εἰς τὸν θρόνον τῆς χάριτος, διὰ νὰ πάρωμεν ἔλεον καὶ νὰ εὕρωμεν χάριν καὶ βοήθειαν εἰς καιρὸν εὐκαιρότατον.

Κεφ. ε'. 5.

1 Πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεὸν, ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν·

1 Διατὶ κάθε ἀρχιερεὺς ὁποῦ παίρνεται ἀπὸ τοὺς ἀνθρώπους, καταστήνεται (ἀρχιερεὺς) διὰ τοὺς ἀνθρώπους, εἰς τὰ πράγματα ὁποῦ χρεία νὰ γίνεται σχέσιν τὸν Θεὸν, διὰ νὰ προσφέρῃ δῶρά τε καὶ θυσίας διὰ τὰς ἁμαρτίαις·

2 Μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις· ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν·

3 Καὶ διὰ ταύτην ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτω καὶ περὶ ἑαυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν.

4 Καὶ οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμὴν, ἀλλὰ ὁ καλούμενος ὑπὸ τοῦ Θεοῦ, καθάπερ καὶ Ἀαρών.

5 Οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι ἀρχιερέα, ἀλλ' ὁ λαλήσας πρὸς αὐτόν· Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε.

6 Καθὼς καὶ ἐν ἄλλῳ λέγει· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

7 Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σῶζειν αὐτὸν ἐκ θανάτου, μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας,

8 Καίπερ ὢν υἱὸς, ἔμαθε ἀφ' ὧν ἔπαθε τὴν ὑπα-

2 Δεόμενος να συμπάσχη δικαίως μὲ τοὺς ἀγνοοῦντας καὶ πλανομένους· ἐπειδὴ καὶ αὐτὸς εἶναι ἐνδεδυμένος ἀσθένειαν·

3 Καὶ διὰ τοῦτο χρεωστεῖ, καθὼς διὰ τὸν λαὸν, τόσον καὶ διὰ λόγου του να προσφέρῃ θυσίαν διὰ τὰς ἁμαρτίας.

4 Καὶ κανένας δὲν παίρνει τὴν τιμὴν εἰς τοῦ λόγου του, ἀλλὰ ἐκεῖνος ὁποῦ καλεῖται ἀπὸ τὸν Θεὸν, τὴν παίρνει, ὅπως καὶ ὁ Ἀαρών·

5 Τοιουτοτρόπως καὶ ὁ Χριστὸς δὲν ἐδόξασε τὸν λόγου του να γένῃ ἀρχιερεύς, ἀλλὰ ἐκεῖνος (τὸν ἐδόξασεν) ὁποῦ τοῦ εἶπεν· Υἱός μου εἶσαι ἐσύ, ἐγὼ σήμερον σὲ ἐγέννησα.

6 Καθὼς καὶ εἰς ἄλλον (Ψαλμὸν) λέγει· Ἐσὺ εἶσαι ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

7 Ὁ ὁποῖος (Χριστὸς) εἰς ταῖς ἡμέραις τῆς σαρκὸς του, ἐβαστάξαντας να προσφέρῃ δεήσεις καὶ παρακάλεσας μὲ κραυγὴν δυνατὴν καὶ δάκρυα εἰς ἐκεῖνον ὁποῦ ἠδύνατο να τὸν γλυτώσῃ ἀπὸ τὸν θάνατον, καὶ ἐβαστάξαντας να ἀκουσθῇ ἀπὸ τὴν εὐλάβειαν,

8 Ἀγκαλὰ καὶ νὰ ἦτον υἱός, ὅμως ἀπ' ἐκεῖνα ὁποῦ ἔπαθεν, ἔμαθε τὴν ὑπα-

9 Και τελειωθεις εγενετο τοις υπακουσιν αυτω πασιν αιτιος σωτηριας αιωνιου·

10 Προσαγορευθεις υπο του Θεου αρχιερευς κατα την ταξιν Μελχισιδεκ·

11 Περι ου πολυς ημιν ο λογος και δυσερμηνευτος λεγειν· επει νωθροι γεγονατε ταις ακοαις.

12 Και γαρ οφειλοντες ειναι διδασκαλοι δια τον χρονον, παλιν χρειαν εχετε τινος διδασκειν υμας τινα τα στοιχεια της αρχης των λογιων του Θεου· και γεγονατε χρειαν εχοντες γαλακτος και ουκ στερεας τροφης.

13 Πας γαρ ο μετεχων γαλακτος, απειρος λογου δικαιοσυνης· (νηπιος γαρ εστι.)

14 Τελειων δε εστιν η στερεα τροφη, των δια την εξιν τα αισθητηρια γεγυμνασμενα εχοντων προς διακρισιν καλου τε και κακου.

9 Και ουσα ετελειωθη, εγενετο εις παντας τους υπακουοντας αυτω σωτηριας αιωνιου·

10 Εγραπται υπο του Θεου αρχιερευς κατα την ταξιν Μελχισιδεκ·

11 Δια τον οποιον εχομεν πολλα λογον, και δυσκολευομενον ερμηνευσαι· επειδη εγενηκατε νωθροι εις τας ακοας.

12 Διατι οντες οφειλοντες να ειστε διδασκαλοι δια τον καιρον, χρειαζεσθε παλιν να σας διδασκη τινας, ποια ειναι τα στοιχεια της αρχης των λογων του Θεου· και εισθε τοιουτοι οτι χρειαζεσθε γαλα, και οχι στερεαν τροφην.

13 Διατι καθενας οστις μετεχη το γαλα, ειναι απειρος απο τον λογον της δικαιοσυνης· (διατι ειναι νηπιος.)

14 Και η στερεα τροφη ειναι των τελειων, οπου εχουν τα αισθητηρια ασκημενα δια την εξιν, εις το να διακρινουν το καλον και το κακον.

Κεφ. ϛ'. 6.

Διο αφεντες τον της αρχης του Χριστου λογον, επι την τελειοτητα φερωμεθα· μη παλιν θεμελιον καταβαλλομενοι μετανοιας απο νεκρων εργων, και πιστεως επι Θεον,

Δια τουτο αφεντες τον λογον της αρχης του Χριστου, ας φερομεθα εις την τελειοτητα· μη βαλλομεν παλιν θεμελιον μετανοιας απο τα νεκρα εργα, και της πιστεως εις τον Θεον,

2 Βαπτισμῶν διδαχῆς, ἐπιθέσεως τε χειρῶν, ἀναστάσεώς τε νεκρῶν, καὶ κρίματος αἰωνίου.

3 Καὶ τοῦτο ποιήσομεν, ἐάνπερ ἐπιτρέπῃ ὁ Θεός.

4 Ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ μετόχους γενηθέντας Πνεύματος ἁγίου,

5 Καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα, δυνάμεις τε μέλλοντος αἰῶνος,

6 Καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν, ἀνασταυροῦντας ἑαυτοῖς τὸν υἱὸν τοῦ Θεοῦ καὶ παραδειγματίζοντας.

7 Γῆ γὰρ ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς πολλάκις ἐρχόμενον ὑετὸν, καὶ τίκτουσα βοτάνην εὐθετον ἐκείνοις δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ Θεοῦ·

8 Ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους, ἀδόκιμος καὶ κατάρας ἐγγύς, ἧς τὸ τέλος εἰς καῦσιν.

9 Πεπείσμεθα δὲ περὶ ὑμῶν, ἀγαπητοὶ, τὰ κρείττονα

2 Καὶ τῆς διδαχῆς τῶν βαπτισμῶν, καὶ τῆς ἐπιθέσεως τῶν χειρῶν, καὶ τῆς ἀναστάσεως τῶν νεκρῶν, καὶ τῆς κρίσεως τῆς αἰωνίου.

3 Καὶ τοῦτο θελομεν τὸ κάμει, ἂν μᾶς τὸ συγχωρέσῃ ὁ Θεός.

4 Διατὶ ἀδύνατον εἶναι ἐκεῖνοι ὁποῦ ἐφωτίσθηκαν μιὰν φορὰ, καὶ ἐγεύθηκαν τῆς ἐπουρανίου δωρεᾶς, καὶ ἔγιναι μέτοχοι τοῦ ἁγίου Πνεύματος,

5 Καὶ ἐγεύθηκαν τὸν καλὸν λόγον τοῦ Θεοῦ, καὶ ταῖς δύναμαις τοῦ μέλλοντος αἰῶνος,

6 Καὶ παραπέσουσι, νὰ ξανακαινουργώσουν τὸν λόγο τους πάλιν εἰς μετάνοιαν, ξαναγαυρώνοντες εἰς τὸ λόγο τους τὸν υἱὸν τοῦ Θεοῦ, καὶ πομπεύοντες τον.

7 Διατὶ ἡ γῆ ὁποῦ πίνει τὴν βροχὴν ὁποῦ ἔρχεται πολλαχοῦ εἰς αὐτὴν, καὶ γενᾷ χορτάρια ἁρμοδια διὰ ἐκείνους ἀπὸ τοὺς ὁποίους καὶ γεωργεῖται, πέρνει εὐλογίαν ἀπὸ τὸν Θεόν·

8 Ἀμὰ ἐκείνη ἡ γῆ ὁποῦ φέρνει ἀγκάθια καὶ τριβόλια, εἶναι ἀδόκιμος καὶ κοντὰ εἰς τὴν κατάραν, καὶ τὸ τέλος της εἶναι τὸ νὰ κατακαυθῇ.

9 Ἀλλὰ διὰ λόγου σας, ἀγαπητοὶ, ἐλπίζομεν καὶ πει-

καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτω λαλοῦμεν.

10 Οὐ γὰρ ἄδικος ὁ Θεὸς, ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν, καὶ τοῦ κόπου τῆς ἀγάπης ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις καὶ διακονοῦντες.

11 Ἐπιθυμοῦμεν δὲ ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος ἄχρι τέλους·

12 ἵνα μὴ νωθροὶ γένησθε, μιμηταὶ δὲ τῶν διὰ πίστεως καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγελίας.

13 Τῷ γὰρ Ἀβραὰμ ἐπαγγειλάμενος ὁ Θεὸς, ἐπεὶ κατ' οὐδενὸς εἶχε μείζονος ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ,

14 λέγων· Ἢ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ σε.

15 Καὶ οὕτω μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγγελίας.

16 Ἄνθρωποι μὲν γὰρ κατὰ τοῦ μείζονος ὀμνύουσι, καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὁ ὅρκος.

17 Ἐν ᾧ περισσότερον

γεύομεν τὰ καλλίτερα, καὶ ἐχόμενα ὅπερ ἐγγίζουσιν εἰς τὴν σωτηρίαν, ἀγαπητοὶ καὶ οὕτω λαλοῦμεν.

10 Διατὶ δὲν εἶναι ὁ Θεὸς ἄδικος νὰ λησμονήσῃ τὸ ἔργον σας καὶ τὸν κόπον τῆς ἀγάπης, τὴν ὁποίαν ἐδείξατε εἰς τὸ ὄνομα τοῦ, ἂν ὑπηρετήσατε καὶ ὑπηρετᾶτε τοὺς ἁγίους.

11 Καὶ ἐπιθυμοῦμεν νὰ ἔχῃ καθεὶς ἀπὸ σᾶς τὴν αὐτὴν σπουδὴν ἕως τὸ τέλος εἰς τὴν πληροφορίαν τῆς ἐλπίδος·

12 διὰ νὰ μὴ γένησθε νωθροί, ἀλλὰ μιμηταὶ ἐκείνων ὁποὺ κληρονομοῦσι τὰ ἐπαγγέλματα διαμέσου τῆς πίστεως καὶ μακροθυμίας.

13 Διατὶ ὁ Θεὸς ὑπόσχεσε εἰς τὸν Ἀβραὰμ, ἐπειδὴ δὲν εἶχε νὰ ὀμόσῃ εἰς κανένα μεγαλίτερον ὤμοσεν εἰς τὸν ἑαυτόν του,

14 λέγωντας· Ναὶ ἀληθινά, ἐγὼ εὐλογῶν θέλω σὲ εὐλογήσει, καὶ πληθύνων θέλω σὲ πληθύνει.

15 Καὶ ἔτσι ἐκεῖνος ἔγινε μακροθυμήσας ἐπέτυχε τοῦ ἐπαγγέλματος.

16 Διατὶ οἱ ἄνθρωποι ὀμνύουσιν εἰς τὸν μεγαλίτερον, καὶ ὁ ὅρκος εἶναι εἰς αὐτοὺς τέλος κάθε λογῆ ἀντιλογίας εἰς βεβαίωσιν.

17 Εἰς τὸ ὁποῖον πρᾶγμα

ὁ Θεὸς ἐπιδεῖξαι τοῖς κληρονόμοις τῆς ἐπαγγελίας τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ, ἐμεσίτευσεν ὅρκῳ·

ὁ Θεὸς θέλοντας τὰ δείξῃ περισσότερον εἰς τοὺς κληρονόμους τῆς ἐπαγγελίας τὸ ἀμετασάλευτον τῆς βουλῆς του, ἐμεσίτευσε μὲ ὅρκον·

18 ἵνα διὰ δύο πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι Θεόν, ἰσχυρὰν παράκλησιν ἔχωμεν οἱ καταφυγόντες κρατῆσαι τῆς προκειμένης ἐλπίδος·

18 ἵνα διαμείσῃ δύο πραγμάτων ἀμεταθέτων, εἰς τὰ ὁποῖα εἶναι ἀδύνατον νὰ ψευσθῇ ὁ Θεός, νὰ ἔχωμεν βεβαίαν παρηγορίαν ἡμεῖς ὑπὸ ἐκαταφύγαμεν εἰς αὐτὸν, νὰ κρατῶμεν τὴν ἐλπίδα ὑπὸ προκεῖται·

19 ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ τε καὶ βεβαίαν, καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος·

19 Τὴν ὁποίαν ἐλπίδα ἔχομεν ὡσὰν ἄγκυραν ἀσάλευτην καὶ βεβαίαν τῆς ψυχῆς, καὶ ὑπὸ εἰσβαίνει εἰς τὴν παραμικρὰν τοῦ βήματος·

20 ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς, κατὰ τὴν τάξιν Μελχισεδὶκ ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα.

20 ὅπου ὁ Ἰησοῦς ἐμβῆκε πρόδρομος διὰ λόγου μας, ἐγεινε ἀρχιερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν τοῦ Μελχισεδὶκ.

Κεφ. ζ. 7.

Οὗτος γὰρ ὁ Μελχισεδὶκ, βασιλεὺς Σαλήμ, ἱερεὺς τοῦ Θεοῦ ὑψίστου, ὁ συναντήσας Ἀβραὰμ ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς τῶν βασιλέων, καὶ εὐλογήσας αὐτὸν·

Διατὶ οὗτος ὁ Μελχισεδὶκ ἦτον βασιλεὺς τῆς Σαλήμ, ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου, ὑπὸ ἐσυναπάντησε τὸν Ἀβραὰμ, ὅταν ἐγύριζε ἀπὸ τὴν κοπὴν τῶν βασιλέων, καὶ τὸν εὐλόγησε·

2 ᾧ καὶ δεκάτην ἀπὸ πάντων ἐμέρισεν Ἀβραάμ· πρῶτον μὲν ἑρμηνευόμενος βασιλεὺς δικαιοσύνης, ἔπειτα δὲ καὶ βασιλεὺς

2 εἰς τὸν ὁποῖον Μελχισεδὶκ ὁ Ἀβραὰμ ἐμοίρασε δεκάτην ἀπὸ ὅλα· καὶ πρῶτον ἑρμηνεύεται βασιλεὺς δικαιοσύνης, καὶ ἀπίκη καὶ βασιλεὺς

Σαλημ· ὅ ἐστι βασιλεὺς εἰρή-
νης·

3 Ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος· μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων· ἀφωμοιωμένος δὲ τῷ υἱῷ τοῦ Θεοῦ, μένει ἱερεὺς εἰς τὸ διηνεκές.

4 Θεωρεῖτε δὲ πηλίκος οὗτος, ᾧ καὶ δεκάτην Ἀβραὰμ ἔδωκεν ἐκ τῶν ἀκροθινίων ὁ πατριάρχης.

5 Καὶ οἱ μὲν ἐκ τῶν υἱῶν Λευὶ τὴν ἱερατείαν λαμβάνοντες, ἐντολὴν ἔχουσι ἀποδεκατεῖν τὸν λαὸν κατὰ τὸν νόμον, τουτέστι, τοὺς ἀδελφοὺς αὐτῶν, καίπερ ἐξεληλυθότας ἐκ τῆς ὀσφύος Ἀβραάμ.

6 Ὁ δὲ μὴ γενεαλογούμενος ἐξ αὐτῶν, δεδεκάτωκε τὸν Ἀβραάμ, καὶ τὸν ἔχοντα τὰς ἐπαγγελίας εὐλόγηκε.

7 Χωρὶς δὲ πάσης ἀντιλογίας, τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται.

8 Καὶ ὧδε μὲν δεκάτας ἀποθνήσκοντες ἄνθρωποι λαμβάνουσι· ἐκεῖ δέ, μαρτυρούμενος ὅτι ζῇ.

9 Καὶ (ὡς ἔπος εἰπεῖν) διὰ Ἀβραὰμ καὶ Λευὶ ὁ δεκάτης λαμβάνων δεδεκάτωται·

Σαλήμ· τὸ ὅποιον θέλει εἰπεῖ βασιλεὺς τῆς εἰρήνης·

3 Χωρὶς πατέρα, χωρὶς μητέρα, χωρὶς γενεαλογίαν, μηδὲ ἀρχὴν ἡμερῶν, μηδὲ τέλος ζωῆς ἔχοντας· ἀλλὰ ζωὴν ἐχόμενος παρόμοιος μὲ τὸν Υἱὸν τοῦ Θεοῦ, μένει ἱερεὺς εἰς τὸ παντοτινά.

4 Καὶ νὰ ἐξετάσητε πόσος μεγάλος ἦτον οὗτος, τὸν ὁποῖον καὶ ὁ Ἀβραὰμ ὁ πατριάρχης ἔδωκε δεκάτια ἀπὸ τὰ κεφάλαια.

5 Καὶ ἐκεῖνοι ἀπὸ τοὺς υἱοὺς τοῦ Λευΐ, ὁπού παίρνουν τὴν ἱερωσύνην, ἔχουσι παράγγελμα νὰ ἀποδεκατίζουν τὸν λαὸν κατὰ τὸν νόμον, τουτέστι τοὺς ἀδελφούς τους, εἰ καὶ αὐτοὶ ἀγκάλια νὰ ἐβγῆκαν ἀπὸ τὴν μέσην τοῦ Ἀβραάμ.

6 Ἀμὴ ἐκεῖνος ὁπού δὲν ἐγενεαλογεῖτον ἀπ' αὐτούς, ἐδεκάτισε τὸν Ἀβραάμ, καὶ εὐλόγησεν ἐκεῖνον ὁπού εἶχε τὰ τοξίματα.

7 Καὶ ἔξω ἀπὸ καθεμίαν ἀντιλογίαν, τὸ μικρότερον εὐλογᾶται ἀπὸ τὸ μεγαλήτερον.

8 Καὶ ἐδῶ μὲν ἄνθρωποι ἀποθνήσκοντες παίρνουσι δεκάτια· ἀλλὰ ἐκεῖ (λαμβάνει ἐκεῖνος), ὁπού μαρτυρεῖται ὅτι ζῇ.

9 Καὶ (διὰ νὰ εἰπωμεν ἔτζι) καὶ ὁ Λευὶ ὁπού παίρνει τὰ δεκατίαις, αὐτὸς ἐδεκατίσθη εἰς τὸ πρόσωπον τοῦ Ἀβραάμ·

10 Ἔτι γὰρ ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς ἦν, ὅτε συνήντησεν αὐτῷ ὁ Μελχισεδέκ.

11 Εἰ μὲν οὖν τελείωσις διὰ τῆς Λευϊτικῆς ἱερωσύνης ἦν· (ὁ λαὸς γὰρ ἐπ' αὐτῆς νενομοθέτητο·) τίς ἔτι χρεία, κατὰ τὴν τάξιν Μελχισεδέκ ἕτερον ἀνίστασθαι ἱερέα, καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεσθαι;

12 Μετατιθεμένης γὰρ τῆς ἱερωσύνης, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται.

13 Ἐφ' ὃν γὰρ λέγεται ταῦτα, φυλῆς ἑτέρας μετέσχηκεν, ἀφ' ἧς οὐδεὶς προσέσχηκε τῷ θυσιαστηρίῳ.

14 Πρόδηλον γὰρ ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν· εἰς ἣν φυλὴν περὶ ἱερωσύνης Μωσῆς οὐδὲν ἐλάλησε.

15 Καὶ περισσότερόν ἐστι κατάδηλον, εἰ κατὰ τὴν ὁμοιότητα Μελχισεδὲκ ἀνίσταται ἱερεὺς ἕτερος,

16 Ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκίνης γέγονεν, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου.

17 Μαρτυρεῖ γάρ· Ὅτι σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

10 Διατὶ ἀκόμη εἰς τὸν μηρὸν τοῦ πατρός ἦτον, ὅταν τὸν συναπάντησεν ὁ Μελχισεδέκ.

11 Ἐὰν λοιπὸν ἡ τελείωσις ἦτον διὰ τῆς ἱερωσύνης τῆς Λευϊτικῆς· (διατὶ ὁ λαὸς ἐνομοθετήθη εἰς αὐτήν·) τί χρεία ἔκαμε πλέον, νὰ σηκωθῇ ἄλλος ἱερεὺς κατὰ τὴν τάξιν τοῦ Μελχισεδέκ, καὶ ὄχι νὰ λέγηται κατὰ τὴν τάξιν τοῦ Ἀαρών;

12 Διατὶ ὅταν μετατίθεται ἡ ἱερωσύνη, ἐξαναγκάζεται καὶ μετάθεσις τοῦ νόμου.

13 Διατὶ ἐκεῖνος διὰ τὸν ὁποῖον ἐλαλήθησαν ἔτζι τὰ, κατάγεται ἀπὸ ἄλλην φυλήν, ἀπὸ τὴν ὁποῖαν οὐδεὶς κανεὶς ἐσήμωσεν εἰς τὸ θυσιαστήριον.

14 Διατὶ φανερὸν εἶναι ὅτι ἀπὸ τὸ γένος τοῦ Ἰούδα ἀνατέταλκεν ὁ Κύριός μας· εἰς τὴν ὁποῖαν φυλὴν ὁ Μωϋσῆς δὲν εἶπε τίποτες περὶ ἱερωσύνης.

15 Καὶ τοῦτο ἀκόμη περισσότερον εἶναι φανερόν, ἐπειδὴ σηκώνεται ἄλλος ἱερεύς, κατὰ τὴν ὁμοιότητα τοῦ Μελχισεδέκ,

16 Ὁ ὁποῖος δὲν ἔγινε κατὰ τὸν νόμον τῆς ἐντολῆς τῆς σαρκικῆς, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀδιαφθάρτου.

17 Διατὶ ὁ Θεὸς μαρτυρεῖ λέγοντας· Ἐσὺ εἶσαι ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν τοῦ Μελχισεδέκ.

18 Ἀθέτησις μὲν γὰρ γίνεται προαγούσης ἐντολῆς, διὰ τὸ αὐτῆς ἀσθενὲς καὶ ἀνωφελές·

19 Οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος, ἐπεισαγωγὴ δὲ κρείττονος ἐλπίδος, δι' ἧς ἐγγίζομεν τῷ Θεῷ.

20 Καὶ καθ' ὅσον οὐ χωρὶς ὁρκωμοσίας·

21 (Οἱ μὲν γὰρ χωρὶς ὁρκωμοσίας εἰσὶν ἱερεῖς γεγονότες· ὁ δὲ, μετὰ ὁρκωμοσίας, διὰ τοῦ λέγοντος πρὸς αὐτόν· Ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ·)

22 Κατὰ τοσοῦτον κρείττονος διαθήκης γέγονεν ἔγγυος Ἰησοῦς.

23 Καὶ οἱ μὲν, πλείονες εἰσὶ γεγονότες ἱερεῖς, διὰ τὸ θανάτῳ κωλύεσθαι παραμένειν·

24 Ὁ δὲ, διὰ τὸ μένειν αὐτὸν εἰς τὸν αἰῶνα, ἀπαράβατον ἔχει τὴν ἱερωσύνην·

25 Ὅθεν καὶ σώζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχομένους δι' αὐτοῦ τῷ Θεῷ, πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν.

26 Τοιοῦτος γὰρ ἦν ἡμῖν ἔπρεπεν ἀρχιερεὺς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισ-

18 Διατὶ ἡ προτέρα ἐντολὴ παύεται διὰ τὴν ἀσθένειάν της καὶ τὴν ἀνωφέλειαν·

19 Διατὶ ὁ νόμος δὲν ἐτελείωσε τίποτες, ἀλλὰ ἡ ἀπανωμβασις τῆς καλλιτέρας ἐλπίδος, διαμέσου τῆς ὁποίας σμωνόμεθα εἰς τὸν Θεόν.

20 Καὶ εἰς ὅσον δὲν εἶναι χωρὶς ὁρκωμοσίας·

21 (Διατὶ ἐκεῖνοι γεγονασιν ἱερεῖς χωρὶς ὁρκωμοσίαν· καὶ αὐτὸς μὲ ὁρκωμοσίαν, διαμέσου ἐκείνου ὁπού τον λέγει· Ὤμοσε Κύριος, καὶ δὲν θέλει μεταμεληθῆ· Ἐσὺ εἶσαι ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ·)

22 Τόσον καλλιτέρας διαθήκης ἔγινεν ἔγγυητὴς ὁ Ἰησοῦς.

23 Καὶ ἐκεῖνοι μὲν ἦσαν πολλοὶ ἱερεῖς, ὅτι ἀπὸ τὸν θάνατον ἐμποδίζονται νὰ μένουν·

24 Ἀμὴ ἐκεῖνος, ἐπειδὴ μένει εἰς τὸν αἰῶνα, ἔχει τὴν ἱερωσύνην ἀδιάδοχον·

25 Διὰ τοῦτο καὶ δύναται νὰ σώζῃ εἰς τὸ παντελὲς ἐκείνους ὁποὺ πλησιάζουσι διαμέσου αὐτοῦ εἰς τὸν Θεόν, ἐπειδὴ νὰ ζῇ πάντοτε εἰς τὸ μεσιτεύειν διὰ λόγου του.

26 Διατὶ τοιοῦτος ἀρχιερεὺς μᾶς ἔπρεπε, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος

μεν ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος·

27 Ὃς οὐκ ἔχει καθ' ἡμέραν ἀνάγκην, ὥσπερ οἱ ἀρχιερεῖς, πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ· τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ, ἑαυτὸν ἀνενέγκας.

28 Ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς, ἔχοντας ἀσθένειαν· ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον, υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον.

ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος ἀπὸ τοὺς οὐρανοὺς γενόμενος·

27 Ὁ ὁποῖος δὲν ἔχει ἀνάγκην, καθὼς εἶχαν ἐκεῖνοι οἱ ἀρχιερεῖς, νὰ ἀναφέρῃ καθημέραν θυσίας, πρωτύτερα διὰ τὰς ἰδικάς του ἁμαρτίας, ἔπειτα καὶ διὰ ταῖς (ἁμαρτίαις) τοῦ λαοῦ· διατὶ ἔτσι τὸ ἔκαμε μίαν φοράν, ὅταν ἀνεφέρθη τὸν λόγον του.

28 Διατὶ ὁ νόμος καταστήνει ἀρχιερεῖς ἀνθρώπους, ὁποὺ ἔχουν ἀσθένειαν· ἀμὴ ὁ λόγος τῆς ὁρκωμοσίας ὁποὺ ἔγινε ὕστερα ἀπὸ τὸν νόμον, καταστήνει ἀρχιερέα υἱὸν τετελειωμένον εἰς τὸν αἰῶνα.

Κεφ. η. 8.

Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς,

2 Τῶν ἁγίων λειτουργὸς, καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος.

3 Πᾶς γὰρ ἀρχιερεὺς εἰς τὸ προσφέρειν δῶρά τε καὶ θυσίας καθίσταται· ὅθεν ἀναγκαῖον ἔχειν τι καὶ τοῦτον ὃ προσενέγκῃ.

4 Εἰ μὲν γὰρ ἦν ἐπὶ

Καὶ διὰ νὰ εἰπωμεν σύντομα ἐκεῖνα ὁποὺ εἴπαμεν, ἐμεῖς ἔχομεν ἀρχιερέα τέτοιας λογῆς, ὁ ὁποῖος ἐκάθισεν εἰς τὴν δεξιὰν τοῦ θρόνου τῆς μεγαλωσύνης εἰς τοὺς οὐρανούς,

2 Λειτουργὸς τῶν ἁγίων καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, τὴν ὁποίαν ἐκατασκεύασεν ὁ Κύριος, καὶ ὄχι ἄνθρωπος.

3 Διατὶ καθὲ ἀρχιερεὺς καταστένεται εἰς τὸ νὰ προσφέρῃ δῶρα καὶ θυσίας· διὰ τοῦτο ἀναγκαῖον εἶναι νὰ ἔχῃ τίποτες καὶ οὗτος ὁποὺ νὰ προσφέρῃ.

4 Διατὶ ἂν ἦτον ἀπάνω

γης, οὐ ἂν ἡ ἱερεὺς, αὐτῶν τῶν ἱερέων προσφερόντων κατὰ τὸν νόμον τὰ δῶρα·

5 Οἵτινες ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων, καθὼς κεχρημάτισαι Μωσῆς, μέλλων ἐπιτελεῖν τὴν σκηνήν· Ὅρα γάρ, φησὶ, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει.

6 Νυνὶ δὲ διαφορωτέρας τέτευχε λειτουργίας, ὅσῳ καὶ κρείττονός ἐστι διαθήκης μεσίτης, ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίας νενομοθέτηται.

7 Εἰ γὰρ ἡ πρώτη ἐκείνη ἦν ἀμεμπτος, οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος.

8 Μεμφόμενος γὰρ αὐτοῖς λέγει· Ἰδοὺ, ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ καὶ ἐπὶ τὸν οἶκον Ἰούδα διαθήκην καινήν·

9 Οὐ κατὰ τὴν διαθήκην ἣν ἐποίησα τοῖς πατράσιν αὐτῶν, ἐν ἡμέρᾳ ἐπιλαβόμενου μου τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν, λέγει Κύριος.

10 Ὅτι αὕτη ἡ διαθήκη ἣν διαθήσομαι τῷ οἴκῳ εἰς τὴν γῆν, οὐδὲ θέλει ἐστὶ ἱερεὺς, ἴσωτας τὰ εἶναι ἱερεῖς ὑπὲρ προσφέρειν τὰ δῶρα κατὰ τὸν νόμον·

5 Οἱ ἐκεῖνοι ὑπηρετοῦσι τὸ ὑπόδειγμα καὶ τὴν σκιὰν τῶν ἐπουρανίων πραγμάτων, καθὼς ὁ Θεὸς εἶπε πρὸς τὸν Μωσῆν, ὅταν ἔμελλε τὴν σκηνὴν· διατί λέγει· Βλέπε νὰ κάμῃς ὅλα κατὰ τὸ παράδειγμα ὁπὲ σὲ ἐδείχθη εἰς τὸ ὄρος.

6 Ἀμὴ τώρα ὁ Χριστὸς ἔτυχε καλλιοτέρας λειτουργίας, ὁπὲ ὅσον εἶναι καὶ μεσίτης καλλιτέρας διαθήκης, ἡ ὁποία ἐνομοθετήθη μὲ ἐξαιρετωτέρα ταξίματα.

7 Διατὶ ἂν ἡ πρώτη ἐκείνη ἦτον ἀνέλλιπτος δὲν ἐζητοῦτο τόπος τῆς δευτέρας·

8 Διατὶ καταγρώντας τους ὁ Θεὸς λέγει· Νά, ἔρχονται αἱ ἡμέραις, λέγει Κύριος, καὶ θέλω τελειώσει εἰς τὸν οἶκον τοῦ Ἰσραὴλ καὶ εἰς τὸν οἶκον τοῦ Ἰούδα διαθήκην καινήν·

9 Ὄχι κατὰ τὴν διαθήκην ὁπὲ ἔκαμα μὲ τοὺς πατέρας τους, τὴν ἡμέραν ὁπὲ τοὺς ἐπιάστωσα ἀπὸ τὸ χέρι, νὰ τοὺς βγάλω ἀπὸ τὴν γῆν τῆς Αἰγύπτου· διατὶ αὐτοὶ δὲν ἐστάθησαν εἰς τὴν διαθήκην μου, καὶ ἐγὼ τοὺς ἀμέλησα, λέγει Κύριος.

10 Ὅτι αὐτὴ εἶναι ἡ διαθήκη, τὴν ὁποίαν θέλω κάμει

Ἰσραὴλ μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει Κύριος, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας αὐτῶν ἐπιγράψω αὐτούς· καὶ ἔσομαι αὐτοῖς εἰς Θεόν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν.

11 Καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πλησίον αὐτοῦ, καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, λέγων· Γνῶθι τὸν Κύριον· ὅτι πάντες εἰδήσουσί με, ἀπὸ μικροῦ αὐτῶν ἕως μεγάλου αὐτῶν·

12 Ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ τῶν ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι.

13 Ἐν τῷ λέγειν καινὴν, πεπαλαίωκε τὴν πρώτην· τὸ δὲ παλαιούμενον καὶ γηράσκον, ἐγγὺς ἀφανισμοῦ.

εἰς τὸ σκῆπτρον τοῦ Ἰσραὴλ, ὕστερα ἀπὸ ταῖς ἡμέραις ἐκείναις, λέγει Κύριος, τὰ δώσω τοὺς νόμους μου εἰς τὴν διάνοιαν τους, καὶ ἀπάνω εἰς ταῖς καρδίαις τους τὰ τοὺς γράψω· καὶ ἐγὼ θέλω εἶσθαι εἰς αὐτοὺς Θεὸς, καὶ αὐτοὶ θέλουσι μοῦ εἶσθαι λαός.

11 Καὶ δὲν θέλουσι διδάξει πᾶς ἕνας τὸν γείτονά του, καὶ πᾶς ἕνας τὸν ἀδελφόν του, λέγοντας· Γνώριζε τὸν Κύριον· διατὶ ὅλοι θέλουσι μὲ γνωρίσει, ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν·

12 Ὅτι θέλω εἶσθαι συγχωρητικὸς εἰς ταῖς ἀδικίαις τους, καὶ ταῖς ἁμαρτίαις των καὶ ταῖς ἀνομίαις του δὲν θέλω ταῖς ἐνθυμηθῆ πλέον.

13 Μὲ τὸ νὰ λέγῃ καινουργιαν, ἐπαλαίωσε τὴν πρώτην· καὶ ἐκεῖνο ὁποὺ παλαιώνει καὶ γηράσκει, εἶναι σημεῖον τὸν χαλασμόν.

Κεφ. Θ'. 9.

Εἶχε μὲν οὖν καὶ ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας, τό, τε ἅγιον κοσμικόν.

2 Σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη, ἐν ᾗ ἥ τε λυχνία καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται ἅγια.

3 Μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνὴ ἡ λεγομένη ἁγια ἁγίων·

4 Χρυσοῦν ἔχουσα θυμιατή-

Ἡ Πρώτη λοιπὸν (διαθήκη) εἶχε τότε καὶ αὐτὴ δικαιώματα λατρείας, καὶ τὸ ἅγιον τὸ κοσμικόν.

2 Διατὶ ἡ πρώτη σκηνὴ κατασκευάσθη, εἰς τὴν ὁποίαν ἦτον ἡ λυχνία, καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἡ ὁποῖα λέγεται ἅγια.

3 Καὶ ὕστερα ἀπὸ τὸ δεύτερον βῆμα θύρας ἦτον ἡ σκηνὴ ὁποὺ λέγεται ἅγια ἁγίων·

4 Ἡ ὁποῖα εἶχε χρυσοῦν

ριον, καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς διαθήκης.

5 Ὑπεράνω δὲ αὐτῆς Χερουβὶμ δόξης, κατασκιάζοντα τὸ ἱλαστήριον· περὶ ὧν οὐκ ἔστι νῦν λέγειν κατὰ μέρος.

6 Τούτων δὲ οὕτω κατεσκευασμένων, εἰς μὲν τὴν πρώτην σκηνὴν διαπαντὸς εἰσίασιν οἱ ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες·

7 Εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεύς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων·

8 Τοῦτο δηλοῦντος τοῦ Πνεύματος τοῦ ἁγίου, μήπω πεφανερῶσθαι τὴν τῶν ἁγίων ὁδὸν, ἔτι τῆς πρώτης σκηνῆς ἐχούσης στάσιν.

9 Ἥτις παραβολὴ εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα, καθ' ὃν δῶρά τε καὶ θυσίαι προσφέρονται, μὴ δυνάμεναι κατὰ συνείδησιν τελειῶσαι τὸν λατρεύοντα,

θυμιατηρίου, καὶ τὴν κιβωτὸν τῆς διαθήκης, σκεπασμένην ἀπὸ κάθε μέρος μὲ χρυσάφι, εἰς τὴν ὁποίαν ἦτον ἡ στάμνα ἡ χρυσῆ ὁπού εἶχε τὸ μάννα, καὶ ἡ ῥάβδος τοῦ Ἀαρὼν ἡ ἐβλάστησε, καὶ αἱ πλάκαις τῆς διαθήκης.

5 Καὶ παραπάνω ἀπ' αὐτὴν τὴν κιβωτὸν ἦτανε τὰ Χερουβὶμ τῆς δόξης, καὶ ἐσκέπαζαν τὸ ἱλαστήριον· διὰ τὰ ὁποῖα τώρα δὲν εἶναι καιρὸς νὰ λέγωμεν κατὰ μέρος.

6 Καὶ ἐφτοῦτα τὰ ἔχουν ἐτοῦτα τοιουτοτρόπως λεγῶ κατεσκευασμένα, εἰς τὴν πρώτην σκηνὴν πάντοτε εἰσπαίνουν οἱ ἱερεῖς, καμνοντας τὰς λατρείαις·

7 Ἀμὴ εἰς τὴν δευτέραν μίαν φορὰν τὸν χρόνον εἰσπαίνει μόνος ὁ ἀρχιερεύς, ὄχι χωρὶς αἷμα, τὸ ὁποῖον τὸ ἐπροσφέρει διὰ λόγου του, καὶ διὰ τὰς ἁμαρτίαις τοῦ λαοῦ, ὁπού ἐγνώνταν κατὰ ἄγνοιαν·

8 Ἐτοῦτο δειχνοντας τὸ Πνεύμα τὸ ἅγιον, ὅτι ἀκόμα δὲν ἐφανερώθη ὁ δρόμος τὰ ἅγια, ἀκόμη γιομάτης τῆς πρώτης σκηνῆς.

9 Ἡ ὁποία ἦτον τοῦτος ἐκ τὸν καιρὸν τὸν παρόντα, κατὰ τὸν ὁποῖον δῶρα καὶ θυσίαις προσφέρονται, ὁπού δὲν ἠμποροῦνται νὰ τελειώσουσι κατὰ τὴν συνείδησιν ἐκείνου ὁπού λατρεύει,

10 Μόνον ἐπὶ βρώμασι καὶ πόμασι, καὶ διαφόροις βαπτισμοῖς, καὶ δικαιώμασι σαρκὸς, μέχρι καιροῦ διορθώσεως ἐπικείμενα.

11 Χριστὸς δὲ παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν, διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς, οὐ χειροποιήτου, τουτέστι, οὐ ταύτης τῆς κτίσεως,

12 Οὐδὲ δι' αἵματος τράγων καὶ μόσχων, διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια, αἰωνίαν λύτρωσιν εὑράμενος.

13 Εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων, καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους, ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα,

14 Πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ Πνεύματος αἰωνίου ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ Θεῷ, καθαριεῖ τὴν συνείδησιν ὑμῶν ἀπὸ νεκρῶν ἔργων εἰς τὸ λατρεύειν Θεῷ ζῶντι;

15 Καὶ διὰ τοῦτο διαθήκης καινῆς μεσίτης ἐστὶν, ὅπως θανάτου γενομένου, εἰς ἀπολύτρωσιν τῶν ἐπὶ τῇ πρώτῃ διαθήκῃ παραβάσεων,

10 Ἐπειδὴ ἐπὶ τούτοις εἰσὶ μόνον εἰς φαγητὰ καὶ πιτά, καὶ διάφορα βαπτίσματα, καὶ δικαιώματα τῆς σαρκὸς, δεσμεῖα ἕως εἰς τὸν καιρὸν τῆς διορθώσεως.

11 Ἀμὴν ὁ Χριστὸς ἐλθὼν ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν, διαμέσου τῆς μεγαλειοτέρας καὶ τελειοτέρας σκηνῆς, ὁποῦ δὲν εἶναι χειροποίητος, τοῦτ' ἔστιν, ὁποῦ δὲν εἶναι ἀπὸ τούτην τὴν κατασκευήν,

12 Οὐδὲ διαμέσου τοῦ αἵματος τῶν τράγων καὶ τῶν μόσχων, ἀλλὰ διαμέσου τοῦ ἰδίου του αἵματος, ἐμβῆκε μίαν φορὰν εἰς τὰ ἅγια, ἐλθὼν νὰ εὕρῃ αἰωνίαν λύτρωσιν.

13 Διατὶ ἂν τὸ αἷμα τῶν ταύρων καὶ τῶν τράγων, καὶ ἡ τέφρα τῆς δαμάλεως ῥαντιζομένη, ἁγιάζῃ τοὺς μολυσμένους εἰς τὴν καθαρότητα τῆς σάρκας,

14 Πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὁ ὁποῖος διαμέσου τοῦ Πνεύματος τοῦ αἰωνίου ἐπροσφέρθη τοῦ λόγου του ἀκατηγόρητος εἰς τὸν Θεόν, θέλει καθαρίσῃ τὴν συνείδησιν σας ἀπὸ τὰ νεκρὰ ἔργα, εἰς τὸ νὰ λατρεύητε Θεὸν ζῶντα;

15 Καὶ διὰ τοῦτο εἶναι μεσίτης διαθήκης καινῆς, διὰ νὰ παρευρεθοῦν οἱ καλεσμένοι τὸ τάξιμον τῆς αἰωνίου κληρονομίας, ἐπειδὴ νὰ ἔγινε ὁ

τὴν ἐπαγγελίαν λάβωσιν οἱ κεκλημένοι τῆς αἰωνίου κληρονομίας.

16 Ὅπου γὰρ διαθήκη, θάνατον ἀνάγκη φέρεσθαι τοῦ διαθεμένου.

17 Διαθήκη γὰρ ἐπὶ νεκροῖς βεβαία· ἐπεὶ μή ποτε ἰσχύει ὅτε ζῇ ὁ διαθέμενος.

18 Ὅθεν οὐδ' ἡ πρώτη χωρὶς αἵματος ἐγκαίνισται·

19 Λαληθείσης γὰρ πάσης ἐντολῆς κατὰ νόμον ὑπὸ Μωϋσέως παντὶ τῷ λαῷ, λαβὼν τὸ αἷμα τῶν μόσχων καὶ τράγων μετὰ ὕδατος καὶ ἐρίου κοκκίνου καὶ ὑσσώπου, αὐτό τε τὸ βιβλίον καὶ πάντα τὸν λαὸν ἐράντισε,

20 Λέγων· Τοῦτο τὸ αἷμα τῆς διαθήκης, ἧς ἐνετείλατο πρὸς ὑμᾶς ὁ Θεός.

21 Καὶ τὴν σκηνὴν δὲ καὶ πάντα τὰ σκεύη τῆς λειτουργίας τῷ αἵματι ὁμοίως ἐράντισε.

22 Καὶ σχεδὸν ἐν αἵματι πάντα καθαρίζεται κατὰ τὸν νόμον, καὶ χωρὶς αἱματεκχυσίας οὐ γίνεται ἄφεσις.

23 Ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς, τούτοις καθαρίζεσθαι· θαίατῳ διὰ τὴν ἐξαγορασμὸν τῶν παραβάσεων ἐπὶ ἔχουσι καὶ τὴν πρώτην διαθήκην.

16 Διατί ὅπου ἐστὶ διαθήκη, ἀνάγκη ἐστὶ καὶ ἔρχεται καὶ θάνατον ἐκείνου ἐπὶ τὸν διάθεσιν.

17 Διατὶ ἡ διαθήκη ἐπὶ τοὺς νεκροὺς ἐστὶ βεβαία· ἐπειδὴ ὅσος ὅπου ζῇ ἐκεῖνος ὅπου τὴν διάταξιν, ἄκυρα δὲν ἔχει δύναμιν.

18 Διὰ τοῦτο οὐδὲ ἡ πρώτη ἐστὶ ἐγκαινισμένη χωρὶς αἵματος·

19 Διατὶ ἐρωτήσας κάθε ἐντολὴν ὁ Μωϋσῆς ὅλους τοὺς ἐντολὰς (κατὰ τὸν νόμον) εἰς ὅλον τὸν λαὸν, πέρνοντας τὸ αἷμα τῶν μόσχων καὶ τῶν τράγων μὲ νερὸν καὶ μὲ μαλλὶ κόκκινον καὶ ὕσσωπον, ἐράντισε καὶ αὐτὸ τὸ βιβλίον καὶ ὅλον τὸν λαὸν,

20 Λέγοντας· Τοῦτο ἐστὶ τὸ αἷμα τῆς διαθήκης, ἐντὸς σᾶς ἐπαρήγγειλε ὁ Θεός.

21 Καὶ τὴν σκηνὴν καὶ ὅλα τὰ ἀγγεῖα τῆς λατρείας, τὰ ἐράντισεν ὁμοίως μὲ τὸ αἷμα.

22 Καὶ κοντολογίς, μὲ τὸ αἷμα καθαρίζονται ὅλα κατὰ τὸν νόμον, καὶ χωρὶς αἱματεκχυσίας δὲν γίνεται ἄφεσις τῶν ἁμαρτιῶν.

23 Ἀνάγκη λοιπὸν οἱ τύποι τῶν πραγμάτων ὁπού ἐστὶ εἰς τοὺς οὐρανοὺς, μὲ τοῦτα νὰ καθα-

αἱτὰ δὲ τὰ ἐπουράνια καθαρίζεται θυσίαις παρὰ ταύτας.

24 Οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστός, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανόν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν·

25 Οὐδ' ἵνα πολλάκις προσφέρῃ ἑαυτόν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ ἅγια κατ' ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ·

26 (Ἐπεὶ ἔδει αὐτὸν πολλάκις παθεῖν ἀπὸ καταβολῆς κόσμου,) νυνὶ δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων, εἰς ἀθέτησιν ἁμαρτίας, διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται.

27 Καὶ καθ' ὅσον ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν, μετὰ δὲ τοῦτο κρίσις·

28 Οὕτως ὁ Χριστὸς ἅπαξ προσενεχθεὶς εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας, ἐκ δευτέρου χωρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν.

ρίζωνται· ἀλλ' αὐτὰ τὰ ἐπουράνια καθαρίζονται μὲ καλλιτέρας θυσίας παρὰ ταύτας.

24 Διατὶ ὁ Χριστὸς δὲν ἐμβῆκεν εἰς χειροποίητα ἅγια, ὁποῦ ἦσαν ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' ἐμβῆκεν εἰς αὐτὸν τὸν οὐρανόν, νὰ φανερωθῇ εἰς τὸ πρόσωπον τοῦ Θεοῦ διὰ λόγου μας·

25 Ὄχι διὰ νὰ προσφέρῃ πολλαῖς φοραῖς τὸν λόγον του, καθὼς ὁ ἀρχιερεὺς ἐμβαίνει εἰς τὰ ἅγια κάθε χρόνον με ξένον αἷμα·

26 (Διατὶ ἀλλιῶς, ἔπρεπε νὰ παθαίνῃ πολλαῖς φοραῖς ἀπὸ τὴν ἀρχὴν τοῦ κόσμου,) ἀλλὰ τώρα μίαν φορὰν εἰς τὸ τέλος τῶν αἰώνων, ἐφανερώθη εἰς ἀφαίρεσιν τῆς ἁμαρτίας, διὰ μέσου τῆς ἰδικῆς του θυσίας.

27 Καὶ καθὼς εἶναι ἀποφασισμένον εἰς τοὺς ἀνθρώπους νὰ ἀποθάνουν μίαν φοράν, καὶ ὕστερα ἀπὸ τοῦτο εἶναι κρίσις·

28 Ὁμοίως καὶ ὁ Χριστὸς ἀφοῦ νὰ προσφερθῇ μίαν φοράν, εἰς τὸ νὰ σηκώσῃ τὰς ἁμαρτίας τῶν πολλῶν, τὸ δεύτερον θέλει φανῇ χωρὶς ἁμαρτίαν, εἰς ἐκείνους ὁποὺ τὸν ἀποδέχωνται εἰς σωτηρίαν.

Κεφ. ι'. 10.

Ϛ Καὶ γὰρ ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ

Δ Διατὶ ὁ νόμος ἔχοντας νὰ ἔχῃ σκιὰν τῶν μελλόντων

αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων, κατ' ἐνιαυτὸν ταῖς αὐταῖς θυσίαις ἃς προσφέρουσιν εἰς τὸ διηνεκὲς, οὐδέποτε δύναται τοὺς προσερχομένους τελειῶσαι.

2 Ἐπεὶ ἂν ἐπαύσαντο προσφερόμεναι, διὰ τὸ μηδεμίαν ἔχειν ἔτι συνείδησιν ἁμαρτιῶν τοὺς λατρεύοντας, ἅπαξ κεκαθαρμένους·

3 Ἀλλ' ἐν αὐταῖς ἀνάμνησις ἁμαρτιῶν κατ' ἐνιαυτόν.

4 Ἀδύνατον γὰρ αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας.

5 Διὸ εἰσερχόμενος εἰς τὸν κόσμον, λέγει· Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι.

6 Ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας.

7 Τότε εἶπον· Ἰδοὺ ἥκω (ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ) τοῦ ποιῆσαι, ὁ Θεός, τὸ θέλημά σου.

8 Ἀνωτέρω λέγων· Ὅτι θυσίαν καὶ προσφορὰν καὶ ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἠθέλησας, οὐδὲ εὐδόκησας· (αἵτινες κατὰ τὸν νόμον προσφέρονται·)

9 Τότε εἴρηκεν· Ἰδοὺ ἥκω

ἀγαθῶν, καὶ ὄχι αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων, ἐποτὲ δύνεται νὰ τελειώσῃ διαμίσου τῶν θυσιῶν, ὁποὺ προσφέρονται κάθε χρόνον παντοτε, ἐκείνους ὁποὺ σημειώνει (εἰς τὸ ἑξῆς.)

2 Ἀλλέως, ἠθέλασι παύσει αἱ θυσίαις νὰ μὴν προσφέρωνται, διατὶ οἱ λατρεύοντες ἐφθασι νὰ ἐκαθαρισθοῦσι μιὰ φορὰν δὲν ἠθέλασι ἔχῃ πλέον καμίαν συνείδησιν ἁμαρτιῶν·

3 Ἀλλὰ μὲ αὐταῖς κάθε χρόνον γίνεται ἀνάμνησις τῶν ἁμαρτιῶν.

4 Διατὶ εἶναι ἀδύνατον τὸ αἷμα τῶν ταύρων καὶ τῶν τράγων νὰ ἀφαιρέσῃ ἁμαρτίαις.

5 Διὰ τοῦτο ἐρχόμενος εἰς τὸν κόσμον, λέγει· Θυσίαν καὶ προσφορὰν δὲν ἠθέλησας, ἀλλὰ σῶμα μὲ ἐκατασκεύασες.

6 Δὲν σὲ ἄρεσαν ὁλοκαυτώματα, οὐδὲ θυσίαις διὰ τὰις ἁμαρτίαις.

7 Τότε εἶπα· Νὰ ἐμὲ ἔλθω, Θεὲ (εἰς τὴν ἀρχὴν τοῦ βιβλίου ἐγράφη διὰ λόγου μου) νὰ κάμω τὸ θέλημά σου.

8 Λέγωντας παραπάνω· Θυσίαν καὶ προσφορὰν καὶ ὁλοκαυτώματα, καὶ θυσίαν περὶ ἁμαρτίας δὲν ἠθέλησας, οὐδὲ ἔγερξις· (τὰ ὁποῖα προσφέρονται κατὰ τὸν νόμον·)

9 Τότε εἶπα· Νὰ ἐμὲ

τοῦ ποιῆσαι, ὁ Θεός, τὸ θέλημά σου. Ἀναιρεῖ τὸ πρῶτον, ἵνα τὸ δεύτερον στήσῃ.

10 Ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμὲν διὰ τῆς προσφορᾶς τοῦ σώματος τοῦ Ἰησοῦ Χριστοῦ ἐφάπαξ.

11 Καὶ πᾶς μὲν ἱερεὺς ἕστηκε καθ' ἡμέραν λειτουργῶν, καὶ τὰς αὐτὰς πολλάκις προσφέρων θυσίας, αἵτινες οὐδέποτε δύνανται περιελεῖν ἁμαρτίας.

12 Αὐτὸς δὲ μίαν ὑπὲρ ἁμαρτιῶν προσενέγκας θυσίαν, εἰς τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ.

13 Τὸ λοιπὸν ἐκδεχόμενος ἕως τίθωσι τοὺς ἐχθροὺς αὐτοῦ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ.

14 Μιᾷ γὰρ προσφορᾷ τετελείωκε εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους.

15 Μαρτυρεῖ δὲ ἡμῖν καὶ τὸ Πνεῦμα τὸ ἅγιον· μετὰ γὰρ τὸ προειρηκέναι·

16 Αὕτη ἡ διαθήκη ἣν διαθήσομαι πρὸς αὐτοὺς μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει Κύριος· δώσω νόμους μου ἐπὶ καρδίας αὐτῶν, καὶ ἐπὶ τὴν διάνοιαν αὐτῶν ἐπιγράψω αὐτούς·

17 Καὶ τῶν ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι.

ἦλθα, Θεέ, τοῦ κάμειν τὸ θέλημά σου· Εὐγάτισε τὸ πρῶτον, διὰ νὰ γείνῃ τὸ δεύτερον.

10 Εἰς τὸ ὁποῖον θέλημα εἴμεσθεν ἁγιασμένοι, διαμέσου τῆς προσφορᾶς τοῦ σώματος τοῦ Ἰησοῦ Χριστοῦ ἅπαξ ἐγένετο μία φορά.

11 Καὶ κάθε ἱερεὺς ἔστεκε λειτουργοῦντας καθ' ἡμέραν, καὶ προσφέροντας πολλάκις ταῖς αὐταῖς θυσίαις, αἱ ὁποῖαι θυσίαις ἐδέποτε δύνονται νὰ ἀφαιρέσουν ἁμαρτίας.

12 Ἀμὴ αὐτὸς (ὁ Ἰησοῦς) ἐπροσφέρει μίαν θυσίαν διὰ ταῖς ἁμαρτίαις, ἐκάθησε παντοτεινὰ εἰς τὴν δεξιὰν τοῦ Θεοῦ.

13 Τὸ λοιπὸν καρτερεῖ ἕως ὅτου νὰ βαλθοῦσι οἱ ἐχθροί του ὑποπόδιον τῶν ποδῶν του·

14 Διατί μὲ μίαν προσφορὰν ἐτελείωσε παντοτεινὰ ἐκείνους ὁποῦ ἁγιάζονται.

15 Καὶ μαρτυρεῖ μας τὸ καὶ τὸ Πνεῦμα τὸ ἅγιον· διατὶ ἀφοῦ εἶπε·

16 Ἐτούτη εἶναι ἡ διαθήκη, τὴν ὁποίαν θέλω διαθέσει εἰς αὐτοὺς ὕστερα ἀπὸ ταῖς ἡμέραις ἐκείναις, λέγει Κύριος, θέλω δώσει τοὺς νόμους μου εἰς ταῖς καρδίαις τους, καὶ θέλω τοὺς γράψει εἰς ταῖς διανοίαις τους·

17 Καὶ ταῖς ἁμαρτίαις τους καὶ ταῖς ἀνομίαις τους δὲν θέλω ταῖς ἐνθυμηθῆ πλέον.

18 Ὅπου δὲ ἄφεσις τούτων, οὐκέτι προσφορὰ περὶ ἁμαρτίας.

19 Ἔχοντες οὖν, ἀδελφοί, παῤῥησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ αἵματι Ἰησοῦ,

20 Ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν, διὰ τοῦ καταπετάσματος, τοῦτ' ἔστι, τῆς σαρκὸς αὐτοῦ·

21 Καὶ ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ Θεοῦ·

22 Προσερχώμεθα μετὰ ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως, ἐῤῥαντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς·

23 Καὶ λελουσμένοι τὸ σῶμα ὕδατι καθαρῷ, κατέχωμεν τὴν ὁμολογίαν τῆς ἐλπίδος ἀκλινῆ· (πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος·)

24 Καὶ κατανοῶμεν ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων·

25 Μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν, καθώς ἐθός τισίν, ἀλλὰ παρακαλοῦντες· καὶ τοσοῦτῳ μᾶλλον ὅσῳ βλέπετε ἐγγίζουσαν τὴν ἡμέραν.

26 Ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς

18 Ἐκεῖ δὲ ὅπου ἄφεσις τούτων, οὐκέτι προσφορὰ περὶ ἁμαρτίας.

19 Ἔχοντες λοιπὸν, ἀδελφοί, παῤῥησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ αἵματι τοῦ Ἰησοῦ,

20 Στράταν λέγω, τὴν οἰκείαν μᾶς ἐνεργήσασαν παῤῥησίαν καὶ ζωσαν, διὰ τοῦ βήματος, ἤγουν, τῆς σαρκὸς τοῦ·

21 Καὶ ἔχοντας ἐν ἐχομεν ἕνα μέγαν ἱερέα, ἀπάνω εἰς τὸ σπίτι τοῦ Θεοῦ·

22 Ἂς σημαίνωμεν μὲ ἀληθινὴν καρδίαν, μὲ πληροφορίαν πίστεως, πλημμένοι τὰς καρδίας ἀπὸ συνείδησιν πονηρᾶς·

23 Καὶ λασμένοι τὸ κῆμα μὲ νερὸν καθαρὸν, ἂς κρατήσωμεν τὴν ὁμολογίαν τῆς ἐλπίδος ἀσάλευτον· (διατὶ ἐκεῖνος ἐποὺ μᾶς ἔταξεν εἶναι πιστός·)

24 Καὶ φροντίζωντας νὰ προκαλοῦμεσθε ἕνας τὸν ἄλλον, εἰς παρακίνημὸν τῆς ἀγάπης καὶ τῶν καλῶν ἔργων·

25 Μὴν ἀφήνοντες τὴν συχνοσυναξίν μας, καθὼς εἶναι συνήθεια εἰς μερικούς, ἀλλὰ νὰ παρακινεμένοι ἕνας τὸν ἄλλον· καὶ τόσῳ περισσότερον, ὅσον βλέπετε ὅπου σημαίνει ἡ ἡμέρα.

26 Διατὶ ἂν ἁμαρτάνωμεν ἐμεῖς μὲ τὸ θέλημα μας, ὕστερον ἀφοῦ ἐπάρωμεν τὴν

ἀληθείας, οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία·

27 Φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως, καὶ πυρὸς ζῆλος, ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους.

28 Ἀθετήσας τις νόμον Μωσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶ ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει·

29 Πόσῳ (δοκεῖτε) χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος ἐν ᾧ ἡγιάσθη, καὶ τὸ Πνεῦμα τῆς χάριτος ἐνυβρίσας;

30 Οἴδαμεν γὰρ τὸν εἰπόντα· Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος. Καὶ πάλιν· Κύριος κρινεῖ τὸν λαὸν αὐτοῦ.

31 Φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος.

32 Ἀναμιμνήσκεσθε δὲ τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες, πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων·

33 Τοῦτο μὲν, ὀνειδισμοῖς τε καὶ θλίψεσι θεατριζόμενοι· τοῦτο δὲ, κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων γενηθέντες·

34 Καὶ γὰρ τοῖς δεσμοῖς

γνώρισιν τῆς ἀληθείας, δὲν ἀπομένει πλέον θυσία περὶ ἁμαρτίας·

27 Ἀμὴ ἀπομένει ἐκείνη ἡ φοβερὰ ἀπαντοχὴ τῆς κρίσεως, καὶ καῦμα τὸ πυρὸς ὁποὺ μέλλει νὰ φάγῃ τοὺς ὑπεναντίους.

28 Κανένας ὁποὺ νὰ καταφρονήσῃ τὸν νόμον τοῦ Μωϋσέως, μὲ δύο ἢ τρεῖς μάρτυρες χωρὶς λύπην ἀποθνήσκει·

29 Πόσον (λογιάζετε) θέλει ἀξιωθῆ χειρότερης τιμωρίας ἐκεῖνος ὁποὺ ἐκατεπάτησε τὸν υἱὸν τοῦ Θεοῦ, καὶ ἐλογιάσε κοινὸν τὸ αἷμα τῆς διαθήκης, εἰς τὸ ὁποῖον ἡγιάσθη, καὶ ὁποὺ ὕβρισε τὸ Πνεῦμα τῆς χάριτος;

30 Διατὶ ἐξεύρομεν ἐκεῖνον ὁποὺ εἶπε· Ἡ ἐκδίκησις εἶναι ἰδική μου, ἐγὼ θέλω ἀνταποδώσει, λέγει Κύριος. Καὶ πάλιν· Κύριος θέλει κρίνει τὸν λαόν του.

31 Φοβερὸν εἶναι τὸ ἐμπεσεῖν εἰς τὰ χέρια τοῦ Θεοῦ τοῦ ζῶντος.

32 Καὶ ἀναθυμᾶσθε ταῖς προτέραις ἡμέραις, εἰς ταῖς ὁποίαις ἐγνωτας νὰ ἐφωτίσθητε, ὑπομείνατε πολὺν ἀγῶνα τῶν παθημάτων·

33 Τὸ ἐτε ἐπομπευθήκετε, μὲ ὀνειδισμοὺς καὶ μὲ θλίψεις· καὶ τὸ ὅτι ἐγεινήκετε κοινωνοὶ ἐκείνων ὁποὺ τοιουτοτρόπως ἐβιώχνοντο·

34 Διατὶ ἐσυνεπάθετε καὶ

μη συνπαθησατι, καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε, γινώσκοντες ἔχειν ἐν ἑαυτοῖς κρείττονα ὕπαρξιν ἐν οὐρανοῖς, καὶ μένουσαν.

35 Μὴ ἀποβάλητε οὖν τὴν παῤῥησίαν ὑμῶν, ἥτις ἔχει μισθαποδοσίαν μεγάλην.

36 Ὑπομονῆς γὰρ ἔχετε χρείαν· ἵνα τὸ θέλημα τοῦ Θεοῦ ποιήσαντες, κομίσησθε τὴν ἐπαγγελίαν·

37 Ἔτι γὰρ μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ.

38 Ὁ δὲ δίκαιός μου ἐκ πίστεως ζήσεται· καὶ ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ.

39 Ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς εἰς ἀπώλειαν, ἀλλὰ πίστεως εἰς περιποίησιν ψυχῆς.

εἰς τὰ δεσμά μου, καὶ

Θεοῦ, εἰς τὸ μὴ ἐκ φαινομένων τὰ βλεπόμενα γεγονέναι.

4 Πίστει πλείονα θυσίαν Ἄβελ προσήνεγκε τοῦ Θεοῦ, δι' ἧς ἐμαρτυρήθη εἶναι δίκαιος, μαρτυροῦντος ἐπὶ τοῖς δώροις αὐτοῦ τοῦ Θεοῦ· καὶ δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖται.

5 Πίστει Ἐνὼχ μετετέθη τοῦ μὴ ἰδεῖν θάνατον· καὶ οὐκ ηὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ Θεός· πρὸ γὰρ τῆς μεταθέσεως αὐτοῦ μεμαρτύρηται εὐαρεστηκέναι τῷ Θεῷ.

6 Χωρὶς δὲ πίστεως ἀδύνατον εὐαρεστῆσαι· πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ Θεῷ, ὅτι ἔστι, καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται.

7 Πίστει χρηματισθεὶς Νῶε περὶ τῶν μηδέπω βλεπομένων, εὐλαβηθεὶς κατεσκεύασε κιβωτὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ· δι' ἧς κατέκρινε τὸν κόσμον, καὶ τῆς κατὰ πίστιν δικαιοσύνης ἐγένετο κληρονόμος.

8 Πίστει, καλούμενος

θηκαι μὲ τὸν λόγον τοῦ Θεοῦ, εἰς τόσον ὥστε ἐκεῖνα ὁποῦ βλέπονται, νὰ μὴν ἔγιναν ἀπὸ φαινόμενα.

4 Μὲ τὴν πίστιν ὁ Ἄβελ ἐπροσφέρεν εἰς τὸν Θεὸν καλλιτέραν θυσίαν παρὰ τὸν Κάϊν, διαμέσου τῆς ὁποίας πίστεως ἐμαρτυρήθη νὰ εἶναι δίκαιος, ἐπειδὴ τὸν ἐμαρτύρησεν ὁ Θεὸς εἰς τὰ δῶρα ὁποῦ ἔφερε· καὶ διαμέσου αὐτῆς καὶ ἀποθαμμένος ἀκόμι λαλεῖται.

5 Μὲ τὴν πίστιν ὁ Ἐνὼχ ἐμετατοπίσθη διὰ νὰ μὴν ἰδῇ θάνατον· καὶ δὲν ηὑρίσκετον, διότι ὁ Θεὸς τὸν ἐμετάθεσεν· διατὶ πρότερα ἀπὸ τὴν μετάθεσίν του ἐμαρτυρήθη νὰ ἤρεσεν εἰς τὸν Θεόν.

6 Καὶ χωρὶς πίστεως εἶναι ἀδύνατον νὰ ἀρέσκῃ τινὰς εἰς τὸν Θεόν· διατὶ κάμνει χρεία ἐκεῖνος ὁποῦ σημαίνει εἰς τὸν Θεὸν νὰ πιστεύσῃ, ὅτι εἶναι Θεός, καὶ ὅτι εἰς ἐκείνους ὁποῦ τὸν ἐκζητοῦσι γίνεται μισθαποδότης.

7 Μὲ τὴν πίστιν ἐμηνύθη ὁ Νῶε ἀπὸ τὸν Θεὸν ἐκεῖνα ὁποῦ ἀκόμι δὲν ἐφαίνοντον, καὶ ἐπειδὴ νὰ φοβήθη ἐκατεσκεύασε τὴν κιβωτόν, διὰ τὴν σωτηρίαν τοῦ σπιτιοῦ του· διαμέσου τῆς ὁποίας κιβωτὸν κατέκρινε τὸν κόσμον, καὶ ἔγινε κληρονόμος τῆς δικαιοσύνης ἐκείνου εἶναι κατὰ τὴν πίστιν.

8 Ὁ Ἀβραὰμ καλούμε-

Αβραὰμ ὑπήκουσεν ἐξελθεῖν εἰς τὸν τόπον ὃν ἤμελλε λαμβάνειν εἰς κληρονομίαν, καὶ ἐξῆλθε, μὴ ἐπιστάμενος πῦ ἔρχεται.

9 Πίστει παρῴκησεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας ὡς ἀλλοτρίαν, ἐν σκηναῖς κατοικήσας μετὰ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν συγκληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς·

10 Ἐξεδέχετο γὰρ τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός.

11 Πίστει καὶ αὐτὴ Σάρρα δύναμιν εἰς καταβολὴν σπέρματος ἔλαβε, καὶ παρὰ καιρὸν ἡλικίας ἔτεκε, ἐπεὶ πιστὸν ἡγήσατο τὸν ἐπαγγειλάμενον.

12 Διὸ καὶ ἀφ' ἑνὸς ἐγενήθησαν, καὶ ταῦτα νενεκρωμένου, καθὼς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει, καὶ ὡσεὶ ἄμμος ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης ἡ ἀναρίθμητος.

13 Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ λαβόντες τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες, καὶ πεισθέντες, καὶ ἀσπασάμενοι, καὶ ὁμολογήσαντες ὅτι ξένοι καὶ παρεπίδημοί εἰσιν ἐπὶ τῆς γῆς.

μὲ πίστιν ὑπήκουσε νὰ ὑπάγῃ εἰς τὸν τόπον τὸν ὁποῖον ἤμελλε νὰ λάβῃ διὰ κληρονομίαν, καὶ ὑπῆγε, μὴ ἐξεύροντας ποῦ ὑπάγει.

9 Μὲ τὴν πίστιν ἐκατοίκησεν εἰς τὴν γῆν ὁποῦ τὴν ἐταξεν ὁ Θεός, ὡσὰν εἰς ξένην, ἐζοῦσε κατοικήσεις εἰς τὰς σκηνὰς μετὰ Ἰσαὰκ καὶ Ἰακώβ, οἱ ὁποῖοι ἦσαν συγκληρονόμοι τοῦ ταξιματος αὐτοῦ·

10 Διότι ἐπερίμενε τὴν πόλιν ὁποῦ ἔχει τὰ θεμέλια, τῆς ὁποίας πεχνίτης καὶ δημιουργὸς εἶναι ὁ Θεός.

11 Μὲ τὴν πίστιν καὶ αὐτὴ ἡ Σάρρα ἔλαβε δύναμιν εἰς σύλληψιν τοῦ σπέρματος, καὶ ἔξω ἀπὸ τὸν καιρὸν τῆς ἡλικίας της ἐγέννησε, ἐπειδὴ ἐλογίασε πιστὸν ἐκεῖνον ὁποῦ τὴν ἐταξε.

12 Διὰ τοῦτο καὶ ἀπὸ ἕναν, καὶ τοῦτον ἀχαμάτον πεθαμμένον, ἐγεννήθησαν (ἔκγονοι) καθὼς τὰ ἄστρα τοῦ οὐρανοῦ, τὸ πλῆθος, καὶ ὡσὰν ἄμμος ἡ ἀμέτρητος ὁποῦ εἶναι εἰς τὸ χεῖλος τῆς θαλάσσης.

13 Ἐτοῦτοι ὅλοι μὲ πίστιν ἀπέθανον, καὶ δὲν ἐπῆραν τὰ ταξιματα, ἀλλὰ ἀπὸ μακρὰ τὰ εἶδαν, καὶ ἐπίστευσαν, καὶ καταπιθόμενοι, τὰ ἀγάπησαν, καὶ ὡμολόγησαν ὅτι εἶναι ξένοι καὶ παρεπίδημοι ἀπάνω εἰς τὴν γῆν.

14 Οἱ γὰρ τοιαῦτα λέγοντες ἐμφανίζουσιν ὅτι πατρίδα ἐπιζητοῦσι.

15 Καὶ εἰ μὲν ἐκείνης μνημονεύοντες ἐξῆλθον, εἶχον ἂν καιρὸν ἀνακάμψαι·

16 νυνὶ δὲ κρείττονος ὀρέγονται, τοῦτ' ἔστιν ἐπουρανίου· διὸ οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ Θεός, Θεὸς ἐπικαλεῖσθαι αὐτῶν· ἡτοίμασε γὰρ αὐτοῖς πόλιν.

17 Πίστει προσενήνοχε Ἀβραὰμ τὸν Ἰσαὰκ πειραζόμενος, καὶ τὸν μονογενῆ προσέφερε ὁ τὰς ἐπαγγελίας ἀναδεξάμενος·

18 πρὸς ὃν ἐλαλήθη· Ὅτι ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα·

19 λογισάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγεῖραι δυνατὸς ὁ Θεός· ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο.

20 Πίστει περὶ μελλόντων εὐλόγησε Ἰσαὰκ τὸν Ἰακὼβ καὶ τὸν Ἠσαύ.

21 Πίστει, Ἰακὼβ ἀποθνήσκων ἑκάστου τῶν υἱῶν Ἰωσὴφ εὐλόγησε· καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ.

22 Πίστει, Ἰωσὴφ τελευτῶν περὶ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐμνημόνευσε, καὶ

14 Διατὶ ἐκεῖνοι οἱ λέγοντες τὰ τοιαῦτα, δείχνουν ὅτι πατρίδα ζητοῦσι.

15 Καὶ ἂν ἐθυμοῦντο ἐκείνην τὴν πατρίδα ἀπὸ τὴν ὁποίαν ἐβγῆκαν, εἶχαν καιρὸν νὰ γυρίσουν εἰς αὐτήν·

16 ἀλλὰ ὀρέγονται καλλιτέραν πατρίδα τουτέστι τὴν ἐπουράνιον· διὰ τοῦτο ὁ Θεὸς δὲν ἐντρέπεται νὰ κράζεται Θεὸς αὐτῶν· διατὶ τοὺς ἑτοίμασε πόλιν.

17 Ὁ Ἀβραὰμ δοκιμαζόμενος ἀπὸ τὸν Θεόν, μὲ πίστιν προσέφερε τὸν Ἰσαάκ, τὸν μονογενῆ τὸν ὁποῖον ἐπρόσφερεν ἐκεῖνος ὁπού ἐδέχθη τὰ ταξίματα·

18 εἰς τὸν ὁποῖον ἐλαλήθη· Ὅτι εἰς τὸν Ἰσαὰκ θέλει ὀνομασθῇ τὸ σπέρμα σου·

19 ἐλογιάζασε νὰ συλλογισθῇ ὁ Ἀβραάμ, ὅτι ὁ Θεὸς εἶναι δυνατὸς νὰ ἀναστήσῃ τὸν Ἰσαὰκ ἀπὸ τοὺς νεκρούς· καὶ διὰ τοῦτο ἀπὸ εἰς κάποιον τρόπον ἐδικαιώθημεν πάλιν τὸν ἐπαίρνωμεν.

20 Μὲ τὴν πίστιν ὁ Ἰσαὰκ εὐλόγησε τὸν Ἰακὼβ καὶ τὸν Ἠσαὺ διὰ τὰ μέλλοντα.

21 Μὲ πίστιν ἀποθνήσκοντας ὁ Ἰακὼβ εὐλόγησε καθένα ἀπὸ τοὺς υἱοὺς τοῦ Ἰωσὴφ· καὶ ἐπροσκύνησεν ἀκουμπίζοντας εἰς τὸ ἄκρον τῆς ῥάβδου του.

22 Μὲ τὴν πίστιν ὁ Ἰωσὴφ ἀποθνήσκων ἐμνημόνευσε τὴν ἔξοδον τῶν υἱῶν τοῦ Ἰσραὴλ,

περὶ τῶν ὀρέων αὐτῶ ἐνετείλατο.

23 Πίστει, Μωσῆς γενηθεὶς ἐκρύβη τρίμηνον ὑπὸ τῶν πατέρων αὐτοῦ, διότι εἶδον ἄστειον τὸ παιδίον· καὶ οὐκ ἐφοβήθησαν τὸ διάταγμα τοῦ βασιλέως.

24 Πίστει, Μωσῆς μέγας γενόμενος ἠρνήσατο λέγεσθαι υἱὸς θυγατρὸς Φαραώ·

25 μᾶλλον ἑλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν·

26 μείζονα πλοῦτον ἡγησάμενος τῶν ἐν Αἰγύπτῳ θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ· ἀπέβλεπε γὰρ εἰς τὴν μισθαποδοσίαν.

27 Πίστει κατέλιπεν Αἴγυπτον, μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέως· τὸν γὰρ ἀόρατον ὡς ὁρῶν ἐκαρτέρησεν.

28 Πίστει πεποίηκε τὸ πάσχα καὶ τὴν πρόσχυσιν τοῦ αἵματος, ἵνα μὴ ὁ ὀλοθρεύων τὰ πρωτότοκα, θίγῃ αὐτῶν.

29 Πίστει διέβησαν τὴν ἐρυθρὰν θάλασσαν ὡς διὰ ξηρᾶς· ἧς πεῖραν λαβόντες οἱ Αἰγύπτιοι κατεπόθησαν.

καὶ ἐπαράγγειλε διὰ τὰ κόκκαλα αὐτοῦ.

23 Μὲ πίστιν ὁ Μωϋσῆς ὅταν ἐγεννήθη, ἐκρύφθη τρεῖς μῆνας ἀπὸ τοὺς πατέρας του, διατὶ εἶδασι τὸ παιδίον πολλὰ χαριτόμορφον· καὶ δὲν ἐφοβήθησαν τὸν ὁρισμὸν τοῦ βασιλέως.

24 Μὲ πίστιν ὁ Μωϋσῆς ὅταν ἐμεγάλυνεν, ἀρνήθη νὰ λέγεται υἱὸς τῆς θυγατρὸς τοῦ Φαραώ·

25 προκρίνοντας τριγυρίτερον νὰ κακοπαθαίνῃ μὲ τὸν λαὸν τοῦ Θεοῦ, παρὰ νὰ ἔχῃ πρόσκαιρον ἀπόλαυσιν τῶν ἁμαρτιῶν·

26 ὁ Ἐγνώτας νὰ λογαριάσῃ μεγαλίτερον πλοῦτον τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ, ἀπὸ τοὺς θησαυροὺς τῆς Αἰγύπτου· διατὶ ἀπέβλεπεν εἰς τὴν ἀνταπόδοσιν τῆς πλερωμῆς.

27 Μὲ πίστιν ἄφησε τὴν Αἴγυπτον, καὶ δὲν ἐφοβήθη τὸν θυμὸν τοῦ βασιλέως· διατὶ ἐκαρτέρησεν ὡσὰν ὁποὺ ἔβλεπε τὸν ἀόρατον ὁποὺ δὲν βλέπεται.

28 Μὲ πίστιν ἔκαμε τὸ πάσχα καὶ τὴν πρόσχυσιν τοῦ αἵματος, διὰ νὰ μὴν τοὺς ἀγγίξῃ ὁ ἄγγελος ὁποὺ ἐσκότωνε τὰ πρωτότοκα τῶν Αἰγυπτίων.

29 Μὲ πίστιν ἐπέρασαν τὴν ἐρυθρὰν θάλασσαν, ὡσὰν διαμέσου ξηρᾶς· τὴν ὁποίαν οἱ Αἰγύπτιοι ἐχτυπήθησαν, ἐκατεπνίγησαν.

30 Πίστει τὰ τείχη Ἰερι- ἐπέσαν, κυκλωθέντα ἐπὶ ἑπτὰ ἡμέρας.

30 Πίστει τὰ τείχη τῆς Ἰεριχὼ ἔπεσαν, ἐκυκλώθησαν περὶ ἑπτὰ ἡμέρας.

31 Πίστει Ῥαὰβ, ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι, δεξαμένη τοὺς κατασκόπους μετ' εἰρήνης.

31 Πίστει Ῥαὰβ ἡ πόρνη δὲν συνεφθάρθη ἀπερ- μὲ ἐκείνους ὁποῦ ἀπείθησαν, ἐδεχθεῖσα μὲ εἰρήνην τοὺς κατασκόπους.

32 Καὶ τί ἔτι λέγω; Ἐπιλείψει γὰρ με διηγούμενον ὁ χρόνος περὶ Γεδεών, Βαρὰκ τε καὶ Σαμψών, καὶ Ἰεφθαὶ, Δαβὶδ τε καὶ Σαμουὴλ, καὶ τῶν προφητῶν·

32 Καὶ τί πλέον λέγω; Διατὶ ὁ χρόνος δὲν θέλει μὲ ἀρκέσει, νὰ διηγεμαι περὶ τοῦ Γεδεών, καὶ Βαρὰκ, καὶ Σαμψών, καὶ Ἰεφθάε, καὶ τοῦ Δαβὶδ, καὶ τοῦ Σαμουὴλ, καὶ τῶν προφητῶν·

33 Οἱ διὰ πίστεως κατεγωνίσαντο βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων·

33 Οἱ ὁποῖοι διαμέσου τῆς πίστεως ἐνίκησαν ταῖς βασιλείαις, ἐκατόρθωσαν δικαιοσύνην, ἐπέτυχον τὰ ταξίματα, ἔφραξαν τὰ στόματα τῶν λεόντων·

34 Ἔσβεσαν δύναμιν πυρὸς, ἔφυγον στόματα μαχαίρας, ἐδυναμώθησαν ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων·

34 Ἔσβεσαν τὴν δύναμιν τῆς φωτιᾶς, ἔφυγον τὰ στόματα τῶν σπαθίων, ἐδυναμώθησαν ἀπὸ ἀσθενείας, ἐγειναν δυνατοὶ εἰς τὸν πόλεμον, ἐφυγάτισαν ταῖς παρατάξεις τῶν ξένων·

35 Ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν· ἄλλοι δὲ ἐτυμπανίσθησαν, οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν·

